This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



6000111271

28.

100.

ARISTOPHANIS

ACHARNENSES.

EX RECENSIONE

GUILIELMI DINDORFII.

LIPSIAE
LIBRARIA WEIDMANNIA
G. REIMER.

MDCCCXXVIII.

100.

BODLEIANA·BIBLIOTHECA·OXONIENSIS

PRAEFATIO.

Acharnensium codices sunt septem.

T Laurentianus plutei XXXI. 15* (apud Bandinium vol. II. p. 89.) chartaceus saeculi quarti decimi, optimae notae liber.

L Laurentianus eiusdem plutei decimus sextus, chartaceus saeculi quinti decimi, similis Parisino B.

ABC Parisini 2712. 2715. 2717. Brunckiani. Eorum A in membranis exaratus est satis diligenter. Minoris pretii est C chartaceus, minimi B, ipse quoque chartaceus, in Acharnensibus pariter atque reliquis sex quas complectitur fabulis, ab imperito correctore interpolatus.

R Ravennas.

Vaticanus Palatinus Kusteri, qui plura ex hoc libro emendavit tacito, nonnisi paucis lectionibus in annotatione commemoratis.

Editionum veterum perexiguus usus fuit. Quae enim in aliis quibusdam fabulis praeclara multa ex libris Laurentianis, Ravennate, aliis, excerpta asciverunt editiones Iuntinae prima atque secunda, in Acharnensibus ab editione Aldina, quae ex uno eoque non optimo

* In praefatione ad Ecclesiazusas p. IV, 1. corrige „*chartaceus plutei* XXXI. 15."

libro facta esse videtur, vix differunt nisi correctis illatisve operarum erroribus *. Scribebam Lipsiae.

* Aldina.	Iuntina I.
V. 6. ταλάντοις	τάλαντοις
V. 103. χρυσίον	χρησίον
V. 302. θυμάλων	θουμάλων
V. 333. δεινὸν	δεινός
V. 391. λελέξαι	λέξαι
V. 414. κεφαλὴν	καφαλὴν
V. 468. τὰ ναντία	τὰ ναντία
V. 473. ἀθηναίοις	ἀθυναίοις
V. 479. ληναίῳ	λυναίῳ
V. 532. μιαρώτατε	μιαρότατε
V. 543. λάμεχ	λάμαχ
V. 552. κακοῤῥθεῖ	κακορθεῖ
V. 559. νῦν	νυν
V. 602. μεταπείθειν	μεταπείθει
V. 604. τρυγικοῖς	τραγικοῖς
V. 641. φλεγυρὸν	φλογερὸν
V. 695. μεγαρεῦσιν	μεγαρεῦσις
V. 711. κῆπειτεν	κῆπειθεν
V. 727. ὑμὲς	ὑμὲς
V. 787. ἁμῖν	ἅμμιν
V. 901. πυροῤῥαγὲς	πυῤῥοραγὲς
V. 1063. σὺ	σὴ
V. 1115. καθεύδειν	καξεύδειν
V. 1143. ἐξέγειρεν	ἠξήγειρεν

Aldina.	Iuntina II. A. Francini.
V. 102. ὑμῖν	ἡμῖν
V. 190. πίττης	πίπτης
V. 428. διακεκαυμένον	διεκεκαυμένον
V. 626. πολὺ βελτίους	βελτίους, omisso πολὺ
V. 633. οὔτ' ἐξαπατύλλων	οὔθ' ἐξαπατύλλων
V. 647. μεμφόμεσθα	μεμφόμεθα
V. 741. ἤμεναι	ἤμενε
V. 769. τί δὲ, σῦκα	τί δαὶ, σῦκα
V. 780. αἳ	αν
V. 815. κεκαῤῥμένον	κεκραμένον
V. 864. Ἰώγα	Ἰῶγα
V. 884. τὸ	τὸν
V. 901. πυροῤῥαγὲς	πυῤῥοραχὲς
V. 926. Χ' ὥπως	χ' ὅπως
V. 944. κατεσθίειν	καθεσθίειν
V. 970. κτησιφῶνος λήψεταιτο	κτησιφῶνος λήψεται
V. 990. ἐπετρίβειν	ἐπιτρίβειν
V. 997. Ὑπάλειψον	ὑπάληψον.

ΕΚ ΤΩΝ

ΠΛΑΤΩΝΙΟΥ

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΚΩΜΩΙΔΙΩΝ.

Καλὸν ἐπισημήνασθαι τὰς αἰτίας δι' ἃς ἡ μὲν ἀρχαία κωμῳδία ἴδιόν τινα τύπον ἔχει, ἡ δὲ μέση διάφορός ἐστι πρὸς ταύτην. ἐπὶ τῶν Ἀριστοφάνους καὶ Κρατίνου καὶ Εὐπόλιδος χρόνων τὰ τῆς δημοκρατίας ἐκράτει παρ' Ἀθηναίοις καὶ τὴν ἐξουσίαν σύμπασαν ὁ δῆμος εἶχεν, αὐτὸς αὐτοκράτωρ καὶ κύριος τῶν πολιτικῶν πραγμάτων ὑπάρχων. τῆς ἰσηγορίας οὖν πάσης ὑπαρχούσης ἄδειαν οἱ τὰς κωμῳδίας συγγράφοντες εἶχον τοῦ σκώπτειν καὶ στρατηγοὺς καὶ δικαστὰς τοὺς κακῶς δικάζοντας καὶ τῶν πολιτῶν τινὰς ἢ φιλαργύρους ἢ συζῶντας ἀσελγείᾳ. ὁ γὰρ δῆμος, ὡς εἶπον, ἐξῄρει τὸν φόβον τῶν κωμῳδούντων, φιλοτίμως τῶν τοὺς τοιούτους βλασφημούντων ἀκούων. ἴσμεν γὰρ ὡς ἀντίκειται φύσει τοῖς πλουσίοις ἐξ ἀρχῆς ὁ δῆμος καὶ ταῖς δυσπραγίαις αὐτῶν ἥδεται. ἐπὶ τοίνυν τῆς Ἀριστοφάνους καὶ Κρατίνου καὶ Εὐπόλιδος κωμῳδίας ἀφόρητοί τινες κατὰ τῶν ἁμαρτανόντων ἦσαν οἱ ποιηταί. λοιπὸν δὲ τῆς δημοκρατίας ὑποχωρούσης ὑπὸ τῶν κατὰ τὰς Ἀθήνας τυραννούντων καὶ καθισταμένης ὀλιγαρχίας καὶ μεταπιπτούσης τῆς ἐξουσίας τοῦ δήμου εἰς ὀλίγους καὶ κρατυνομένης τῆς ὀλιγαρχίας ἐνέπιπτε τοῖς ποιηταῖς φόβος. οὐ γὰρ ἦν τινὰ προφανῶς σκώπτειν, δίκας ἀπαιτούντων τῶν ὑβριζομένων παρὰ τῶν ποιητῶν. ἴσμεν γοῦν τὸν Εὔπολιν ἐπὶ τῷ διδάξαι τοὺς Βάπτας ἀποπνιγέντα

εἰς τὴν θάλασσαν ὑπ' ἐκείνων εἰς οὓς καθῆκε τὸ δρᾶμα[a]. καὶ διὰ τοῦτο ὀκνηρότεροι πρὸς τὰ σκώμματα ἐγένοντο καὶ ἐπέλιπον οἱ χορηγοί. οὐ γὰρ ἔτι προθυμίαν εἶχον οἱ Ἀθηναῖοι τοὺς χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας χειροτονεῖν. τὸν γοῦν Ἀιολοσίκωνα Ἀριστοφάνης ἐδίδαξεν, ὃς οὐκ ἔχει τὰ χορικὰ μέλη. τῶν γὰρ χορηγῶν μὴ χειροτονουμένων καὶ τῶν χορευτῶν οὐκ ἐχόντων τὰς τροφὰς ὑπεξηρέθη τῆς κωμῳδίας τὰ χορικὰ μέλη καὶ τῶν ὑποθέσεων ὁ τρόπος μετεβλήθη. σκοποῦ γὰρ ὄντος τῆς ἀρχαίας κωμῳδίας τοῦ σκώπτειν δήμους καὶ δικαστὰς καὶ στρατηγούς, παρεὶς ὁ Ἀριστοφάνης τοῦ συνήθως ἀποσκῶψαι διὰ τὸν πολὺν φόβον, Ἄιολον τὸ δρᾶμα, τὸ γραφὲν τοῖς τραγῳδοῖς, ὡς κακῶς ἔχον διασύρει. τοιοῦτός γὰρ ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ Ἀιολοσίκων Ἀριστοφάνους καὶ οἱ Ὀδυσσεῖς Κρατίνου καὶ πλεῖστα τῶν παλαιῶν δραμάτων οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα.

Παράβασις δέ ἐστι τοιοῦτο. μετὰ τὸ τοὺς ὑποκριτὰς τοῦ πρώτου μέρους πληρωθέντος ἀπὸ τῆς σκηνῆς ἀναχωρῆσαι, ὡς ἂν μὴ τὸ θέατρον ἢ κενὸν καὶ ὁ δῆμος ἀργῶς καθέζηται, ὁ χορὸς οὐκ ἔχων πρὸς τοὺς ὑποκριτὰς διαλέγεσθαι ἀποστρέφων ἐποιεῖτο πρὸς τὸν δῆμον. κατὰ δὲ τὴν ἀποστροφὴν ἐκείνην οἱ ποιηταὶ διὰ τοῦ χοροῦ ἢ ὑπὲρ ἑαυτῶν ἀπελογοῦντο, ἢ περὶ δημοσίων πραγμάτων εἰσηγοῦντο. ἡ δὲ παράβασις ἐπληροῦτο ὑπὸ μελυδρίου καὶ κομματίου καὶ στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπιρρήματος καὶ ἀντεπιρρήματος καὶ ἀναπαίστων. τὰ μὲν γὰρ ἔχοντα τὰς παραβάσεις κατ' ἐκεῖνον τὸν χρόνον ἐδιδάχθη, καθ' ὃν ὁ δῆμος ἐκράτει· τὰ δὲ οὐκ ἔχοντα τῆς ἐξουσίας λοιπὸν ἀπὸ τοῦ δήμου μεθισταμένης καὶ τῆς ὀλιγαρχίας κρατούσης. οἱ δὲ τῆς μέσης κωμῳδίας ποιηταὶ καὶ τὰς ὑποθέσεις ἤμεψαν

a Vide Meinekii Quaestion. scenic. I. p. 42.

καὶ τὰ χορικὰ μέλη παρέλιπον, οὐκ ἔχοντες τοὺς χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας. ὑποθέσεις μὲν γὰρ τῆς παλαιᾶς κωμῳδίας ἦσαν αὗται· τὸ στρατηγοῖς ἐπιτιμᾶν καὶ δικασταῖς οὐκ ὀρθῶς δικάζουσι καὶ χρήματα συλλέγουσιν ἐξ ἀδικίας τισὶ καὶ μοχθηρὸν ἐπανῃρημένοις βίον. ἡ δὲ μέση κωμῳδία ἀφῆκε τὰς τοιαύτας ὑποθέσεις, ἐπὶ δὲ τὸ σκώπτειν ἱστορίας ῥηθείσας ποιηταῖς ἦλθεν. ἀνεύθυνον γὰρ τὸ τοιοῦτον. οἷον διασύρειν Ὅμηρον εἰπόντα τι, ἢ τὸν δεῖνα τῆς τραγῳδίας ποιητήν. τοιαῦτα δὲ δράματα καὶ ἐν τῇ παλαιᾷ κωμῳδίᾳ ἔστιν εὑρεῖν, ἅπερ τελευταῖον ἐδιδάχθη λοιπὸν τῆς ὀλιγαρχίας κρατυνθείσης. οἱ γοῦν Ὀδυσσεῖς Κρατίνου οὐδενὸς ἐπιτίμησιν ἔχουσι, διασυρμὸν δὲ τῆς Ὀδυσσείας Ὁμήρου. τοιαῦται γὰρ αἱ κατὰ τὴν μέσην κωμῳδίαν ὑποθέσεις εἰσίν. μύθους γάρ τινας τιθέντες ἐν ταῖς κωμῳδίαις τοῖς παλαιοτέροις εἰρημένους διέσυρον ὡς κακῶς ῥηθέντας· καὶ τὰς παραβάσεις παρῃτήσαντο, διὰ τὸ τοὺς χορηγοὺς ἐπιλεῖψαι, χορῶν οὐκ ὄντων. οὐ μὴν οὐδὲ τὰ προσωπεῖα ὁμοιοτρόπως τοῖς ἐν τῇ παλαιᾷ κωμῳδίᾳ κατεσκευασμένοις εἰσῆγον. ἐν μὲν γὰρ τῇ παλαιᾷ εἴκαζον τὰ προσωπεῖα τοῖς κωμῳδουμένοις, ἵνα, πρίν τι καὶ τοὺς ὑποκριτὰς εἰπεῖν, ὁ κωμῳδούμενος ἐκ τῆς ὁμοιότητος τῆς ὄψεως κατάδηλος ᾖ· ἐν δὲ τῇ μέσῃ καὶ νέᾳ κωμῳδίᾳ ἐπίτηδες τὰ προσωπεῖα πρὸς τὸ γελοιότερον ἐδημιούργησαν, δεδοικότες τοὺς Μακεδόνας καὶ τοὺς ἐπηρτημένους ἐξ ἐκείνων φόβους, ἵνα μηδὲ ἐκ τύχης τινὸς ὁμοιότης προσώπου συμπέσῃ τινὶ Μακεδόνων ἄρχοντι καὶ δόξας ὁ ποιητὴς ἐκ προαιρέσεως κωμῳδεῖν δίκας ὑπόσχῃ. ὁρῶμεν γοῦν τὰ προσωπεῖα τῆς Μενάνδρου κωμῳδίας τὰς ὀφρῦς ὁποίας ἔχει καὶ ὅπως ἐξεστραμμένον τὸ στόμα καὶ οὐδὲ κατ' ἀνθρώπων φύσιν.

Τῶν αὐτῶν περὶ διαφορᾶς χαρακτήρων.

Κρατῖνος ὁ τῆς παλαιᾶς κωμῳδίας ποιητής, ἅτε δὴ κατὰ τὰς Ἀρχιλόχου[b] ζητήσεις αὐστηρὸς μὲν ταῖς λοιδορίαις ἐστίν· οὐ γὰρ ὥσπερ ὁ Ἀριστοφάνης ἐπιτρέχειν τὴν χάριν τοῖς σκώμμασι ποιεῖ, τὸ φορτικὸν τῆς ἐπιτιμήσεως διὰ ταύτης ἀναιρῶν, ἀλλ' ἁπλῶς καὶ κατὰ τὴν παροιμίαν γυμνῇ τῇ κεφαλῇ τίθησι τὰς βλασφημίας κατὰ τῶν ἁμαρτανόντων. πολὺς[c] δὲ καὶ τῆς τροπῆς τυγχάνει. εὐστοχος δὲ ὢν ἐν ταῖς ἐπιβολαῖς τῶν δραμάτων καὶ διασκευαῖς, εἶτα προοίμια καὶ διασπὰς τὰς ὑποθέσεις οὐκ ἀκολούθως πληροῖ τὰ δράματα. Εὐπολὶς δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολὴν ἐστι κατὰ τὰς ὑποθέσεις· τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται, καὶ ἥπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ Ἅιδου νομοθετῶν πρόσωπα, καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων, ἢ καταλύσεως[d]. ὥσπερ δέ ἐστιν ὑψηλός, οὕτω καὶ ἐπίχαρις, καὶ περὶ τὰ σκέμματα[e] λίαν εὔστοχος. ὁ δὲ Ἀριστοφάνης τὸν μέσον ἐλήλακε τῶν ἀνδρῶν χαρακτῆρα. οὔτε γὰρ πικρὸς λίαν ἐστὶν ὥσπερ ὁ Κρατῖνος οὔτε χαρίεις ὥσπερ ὁ Εὔπολις, ἀλλ' ἔχει καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὸ σφοδρὸν τοῦ Κρατίνου καὶ τὸ τῆς ἐπιτρεχούσης χάριτος Εὐπόλιδος.

ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ.

Τὴν κωμῳδίαν ῥηθῆναί φασιν ὑπὸ Σουσαρίωνος· τὴν δὲ ἀνομασίαν ἔχειν οἱ μὲν ὅτι ἐπὶ τὰς κώμας περιιόντες ᾖδον καὶ ἐπιδείκνυντο, μήπω πόλεων οὐσῶν,

---

b Ἀρχιλόχου] Ἀριστάρχου Meinekius Quaestion. scenic. I. p. 19.
c πολὺς] πολλῆς Meinekius ibid. p. 20.
d Haec ad Δήμους fabulam spectant.
e σκώμματα Meinekius ibid. p. 39.

ἀλλ' ἐν κώμαις οἰκούντων τῶν ἀνθρώπων. οἱ δὲ ἀντιλέγοντες φασὶ μὴ κώμας καλεῖσθαι παρὰ Ἀθηναίοις, ἀλλὰ δήμους· καὶ κωμῳδίαν αὐτὴν καλοῦσιν, ἐπεὶ ἐν ταῖς ὁδοῖς ἐκώμαζον.

Τὴν αὐτὴν δὲ καὶ τρυγῳδίαν φασὶ διὰ τὸ τοῖς εὐδοκιμοῦσιν ἐπὶ τῷ Ληναίῳ γλεῦκος δίδοσθαι, ὅπερ ἐκάλουν τρύγα· ἢ ὅτι μήπω προσωπείων ηὑρημένων τρυγὶ διαχρίοντες τὰ πρόσωπα ὑπεκρίνοντο. γεγόνασι δὲ μεταβολαὶ κωμῳδίας τρεῖς· καὶ ἡ μὲν ἀρχαία, ἡ δὲ νέα, ἡ δὲ μέση. οἱ μὲν οὖν τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ οὐχ ὑποθέσεως ἀληθοῦς, ἀλλὰ παιδείας εὐτραπέλου γινόμενοι ζηλωταὶ τοὺς ἀγῶνας ἐποίουν. καὶ φέρεται αὐτῶν πάντα τὰ δράματα τξέ σὺν τοῖς ψευδεπιγράφοις. τούτων δέ εἰσιν ἀξιολογώτατοι Ἐπίχαρμος, Μάγνης, Κρατῖνος, Κράτης, Φερεκράτης, Φρύνιχος, Εὔπολις, Ἀριστοφάνης. οὗτος[f] πρῶτος τὴν κωμῳδίαν διερριμμένην ἀνεκτήσατο πολλὰ προσφιλοτεχνήσας. χρόνοις δὲ γέγονε κατὰ τὴν ὀγ' Ὀλυμπιάδα· τῇ δὲ ποιήσει γνωμικὸς καὶ εὑρετικὸς καὶ φιλότεχνος. σώζεται δὲ αὐτοῦ δράματα μ'. ὧν ἀντιλέγονται δ'.

Μάγνης δὲ Ἀθηναῖος ἀγωνισάμενος Ἀθήνησι νίκας ἔσχεν ια'. τῶν δὲ δραμάτων αὐτοῦ οὐδὲν σώζεται. τὰ δὲ ἐπιφερόμενά ἐστιν ἐννέα.

Κρατῖνος Ἀθηναῖος νικᾷ μετὰ τὴν πέ[g] Ὀλυμπιάδα, τελευτᾷ δὲ Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν εἰσβαλόντων τὸ πρῶτον, ὥς φησιν Ἀριστοφάνης[h],

ὡρακιάσας. οὐ γὰρ ἐξηνέσχετο
ἰδεῖν πίθον καταγνύμενον οἴνου πλέων.

γέγονε δὲ ποιητικώτατος, κατασκευάζων εἰς τὸν Αἰσχύλου χαρακτῆρα. φέρεται δὲ δράματα αὐτοῦ κά.

Κράτης Ἀθηναῖος. τοῦτον ὑποκριτήν φασι γεγο-

---

f οὗτος] Conf. infra p. XV, 16. Sed proxima ad Epicharmum pertinent.

g μετὰ τὴν πέ] κατὰ τὴν πά Meinekius Quaestion. scen. I. p. 16.

h Pacis v. 703.

νέναι τῇ πρῶτον, ὃς ἐπιβέβληκε Κρατίνῳ, πάνυ γελοῖος καὶ ἱλαρὸς γινόμενος, καὶ πρῶτος μεθύοντας ἐν κωμῳδίᾳ προήγαγε[i]. τούτου δράματά ἐστιν ἑπτά.

Φερεκράτης Ἀθηναῖος νικᾷ ἐπὶ θεάτρου γινόμενος· ὁ δὲ ὑποκριτὴς ἐζήλωκε Κράτητα. καὶ αὖ τοῦ μὲν λοιδορεῖν ἀπέστη, πράγματα δὲ εἰσηγούμενος καινὰ ηὐδοκίμει, γενόμενος εὑρετικὸς μύθων.

Φρύνιχος Φράδμονος[k] ἔθανεν ἐν Σικελίᾳ.

Εὔπολις Ἀθηναῖος ἐδίδαξεν ἐπὶ ἄρχοντος Ἀπολλοδώρου, ἐφ' οὗ καὶ Φρύνιχος, γεγονὼς δυνατὸς τῇ λέξει καὶ ζηλῶν Κρατῖνον, πολύ γε λοίδορον καὶ σκαιὸν ἐπιφαίνει. γέγραπται δὲ αὐτῷ δράματα ιδ'.

Ἀριστοφάνης Φιλίππου, Ἀθηναῖος, μακρολογώτατος Ἀθηναίων, καὶ εὐφυΐᾳ πάντας ὑπεραίρων, ζήλῳ δὲ Εὐριπίδην, τοῖς δὲ μέλεσι λεπτότερος. ἐδίδαξε δὲ πρῶτος ἐπὶ ἄρχοντος Φιλοτίμου διὰ Καλλιστράτου. τὰς μὲν γὰρ πολιτικὰς τούτῳ[l] φασὶν αὐτὸν διδόναι, τὰ δὲ κατ' Εὐριπίδου καὶ Σωκράτους Φιλωνίδῃ· διὰ δὲ τοῦτο νομισθεὶς ἀγαθὸς ποιητὴς τοὺς λοιποὺς ἐπιγραφόμενος ἐνίκα. ἔπειτα υἱῷ ἐδίδου τὰ δράματα, ὄντα τὸν ἀριθμὸν νδ'· ὧν νόθα δ'.

Τῆς δὲ μέσης κωμῳδίας δύο[m] ποιηταὶ πλάσματος μὲν οὐχ ἥψαντο ποιητικοῦ, διὰ δὲ τῆς συνήθους ἰόντες λαλιᾶς λογικὰς ἔχουσι τὰς ἀρετάς, ὥστε σπάνιον ποιητικὸν εἶναι χαρακτῆρα παρ' αὐτοῖς. κατασχολοῦνται δὲ πάντες περὶ τὰς ὑποθέσεις. τῆς μὲν οὖν μέσης κωμῳδίας εἰσὶ ποιηταὶ νζ', καὶ τούτων δράματα χιζ'[n]. τούτων δὲ εἰσὶν ἀξιολογώτατοι Ἀντιφάνης καὶ[o] Στέφανος.

---

i παρήγαγε Meinekius ibid. p. 27.

k Φράδμονος] Polyphradmon Phrynichi tragici pater, Phrynichus comicus Eunomidae filius fuit. Vid. Meinekium II. p. 6.

l τούτῳ Petitus Miscellan. p. 2. τοῦτον Ald.

m δύο] οἱ Meinekius II. p. 4.

n χιζ'] ωιζ' Meinekius ibid. p. 2. Athenaeus enim VIII, p. 336 d. se plus octingentas mediae comoediae fabulas legisse narrat.

o Vide Meinekium ibid. p. 5.

Ἀντιφάνης μὲν οὖν Στεφάνου Ἀθηναῖος· καὶ ἤρξατο διδάσκειν μετὰ τὴν ρὴ Ὀλυμπιάδα. καί φασιν αὐτὸν γενέσθαι μὲν τῆς ἀπὸ Θεσσαλίας ἐκ Λαρίσσης, πραγγραφῆναι δὲ εἰς τὴν Ἀθηναίων πολιτείαν ὑπὸ Δημοσθένους, γενέσθαι δὲ λέγουσιν αὐτὸν εὐφυέστατον εἰς τὸ χράσασθαι καὶ δραματοποιίᾳ. ἐτελεύτησε δὲ ἐν Χίῳ[p] καὶ τὰ ὀστᾶ αὐτοῦ εἰς τὰς Ἀθήνας μετηνέχθη. τῶν δὲ χωμῳδιῶν αὐτοῦ τινάς καὶ ὁ Στέφανος ἐδίδαξεν. ἔστι δὲ αὐτοῦ δράματα σξ'.

Τῆς δὲ νέας κωμῳδίας γεγόνασι μὲν ποιηταὶ ξδ'. ἀξιολογώτατοι δὲ τούτων Φιλήμων, Μένανδρος, Δίφιλος, Φιλιππίδης, Ποσείδιππος, Ἀπολλόδωρος. Φιλήμων μὲν οὖν Ἀάμωνος Συρακούσιος· μετέσχε δὲ τῆς τῶν Ἀθηναίων πολιτείας. ἐδίδαξε δὲ πρὸ τῆς ριγ' Ὀλυμπιάδος. σώζεται δὲ αὐτοῦ δράματα ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα. Μένανδρος δὲ Διοπείθους υἱὸς, Ἀθηναῖος, λαμπρὸς καὶ βίῳ καὶ γένει, συνδιατρίψας δὲ τὰ πολλὰ Ἀλέξιδι, ὑπὸ τούτου δοκεῖ παιδευθῆναι. ἐδίδαξε δὲ πρῶτος ἔφηβος ὢν ἐπὶ Διοκλείους ἄρχοντος. γέγονε δ' εὐφυέστατος πάνυ. γέγραφε δὲ πάντα δράματα ρὴ, τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν ὑπάρχων νζ'. Δίφιλος Σινώπευς κατὰ τὸν αὐτὸν χρόνον ἐδίδαξε Μενάνδρῳ. τελευτᾷ δὲ ἐν Σμύρνῃ. δράματα δὲ αὐτοῦ ρ'.

ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ.

Τὸ παλαιὸν οἱ ἐν ταῖς κώμαις ἀδικούμενοι ὑπὸ τῶν πολιτῶν, νυκτὸς ἀπήρχοντο παρὰ τὸν δῆμον ἐκεῖνον ἔνθα ὁ ἀδικήσας ἦν, καὶ ἔλεγον ὅτι ἔστι τις ἐνταῦθα ποιῶν εἰς τοὺς γεωργοὺς τάδε. καὶ τοῦτο ποιοῦντες ὑπεχώρουν λέγοντες καὶ τοὔνομα. μεθ' ἡμέραν δὲ ὁ δράσας ἐξητάζετο, καὶ οὕτω αἰσχυνάμενος ἀνεστέλλετο τοῦ ἀδικεῖν. ὁρῶντες οὖν οἱ πολῖται τοῦτο χρήσιμον τῇ

---

p Χίῳ] Κῴῳ Suidas.

πόλις καὶ ἀδικίας ἀποτρέπεσθαι, ἐκέλευσαν τοὺς ἀδικουμένους ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικήσαντας κωμῳδεῖν. οἱ δὲ δεδιότες αὐτοὺς ὥς τε πλουσίους, πηλῷ χρίοντες καὶ τρυγίᾳ, ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικοῦντας ἐκωμῴδουν. ἐπεὶ δὲ μεγάλη ἡ πόλις ὠφέλειτο ἐκ τούτου, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν ἂν ἂν βούλωνται ἀκωλύτως. ἐπεὶ δὲ ἡ κακία προέκοπτεν, οἱ πλούσιοι καὶ οἱ ἄρχοντες μὴ βουλόμενοι κωμῳδεῖσθαι, τοῦ μὲν φανερῶς κωμῳδεῖν ἐκώλυσαν, ἐκέλευσαν δὲ κρύφα, οἷον αἰνιγματωδῶς. εἶτα δὴ καὶ τοῦτο ἐκώλυσαν. καὶ πτωχοὺς ἔσκωπτον, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὔ. γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτος ὁ Ἀριστοφάνης καὶ Εὔπολις, τῆς δὲ δευτέρας Πλάτων, τῆς δὲ τρίτης Μένανδρος. κωμῳδία οὖν, ἢ ὅτι οἱ ἀπὸ κωμῶν συναγόμενοι ᾖδον ταῦτα· ἢ ὅτι ἐν καιρῷ κώμου τινὸς ᾖδον· ἔστι δὲ ταύτην εἰπεῖν καὶ τραγῳδίαν, οἱονεὶ τρυγῳδίαν τινὰ οὖσαν, ὅτι τρυγίᾳ χριόμενοι ἐκωμῴδουν. καὶ τῆς μὲν τραγῳδίας τὸ εἰς ἔλεον κινῆσαι τοὺς ἀκροατάς, τῆς δὲ κωμῳδίας τὸ εἰς γέλωτα. διό φασιν ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησιν.

ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ.

Τῆς κωμῳδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. τῆς δὲ νέας διαφέρει ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔχει, τῇ νέᾳ κεχρημένη Ἀττικίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λέγειν. ἐνίοτε δὲ ἐπιτηδεύει καὶ λέξεις τινάς. ὕλῃ δὲ καθὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον στρέφεται περὶ τὸ ἰαμβικόν, σπανίως δὲ μέτρον ἕτερον. ἐν δὲ τῇ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δέ, ὅτι ἐν μὲν τῇ νέᾳ χοροῦ οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ δεῖ. καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς

διαφέρει. καὶ γὰρ οἱ ἐν Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας (ἦσαν δὲ οἱ περὶ Σαννυρίωνα[q]) καὶ τὰ πρόσωπα εἰσῆγον ἀτάκτως, καὶ μόνος ἦν γέλως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ ὁ Κρατῖνος κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, συστήσας τὴν ἀταξίαν καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράττοντας διαβάλλων, καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων· ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ἠρέμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τῆς μεθ' ἑαυτοῦ τὴν κωμῳδίαν, ἐνέλαμψεν ἐν ἅπασιν, ἐπίσημος ὀφθεὶς οὕτω, καὶ οὕτω πᾶσαν κωμῳδίαν ἐμελέτησε. καὶ γὰρ τὸ τούτου δρᾶμα ὁ Πλοῦτος νεωτερίζει κατὰ τὸ πλάσμα. τήν τε γὰρ ὑπόθεσιν οὐκ ἀληθῆ ἔχει καὶ χορῶν ἐστέρηται· ὅπερ τῆς νέας ὑπῆρχε κωμῳδίας.

ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ.

Ὅτι ὁ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν. ἐκ μὲν τῆς λέξεως κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν· ὡς τὸ διαφορούμενος, οἷον τὸ μέτρον. δεύτερον καὶ κατὰ συνωνυμίαν· ὡς τὸ, Ἥκω δὲ καὶ κατέρχομαι· ταυτὸν γάρ ἐστιν. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι χρήσηται. τέταρτον κατὰ περιωνυμίαν, ὅταν τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται. ὡς τὸ, Μώμαξ καλοῦμαι Μίδας. πέμπτον κατὰ ὑποκορισμὸν, ὡς τὸ Σωκρατίδιον, Εὐριπίδιον. ἕκτον κατὰ ἐξαλλαγὴν, ὡς τὸ, Ὦ Ζεῦ δέσποτα, ἀντὶ τοῦ ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως τούτῳ γίνεται ἡ φωνὴ, ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο. πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς λόγους.

---

q Σουσαρίωνα Meineking I. p. 7.

δεύτερον κατὰ ὁμοίωσιν. ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλέα, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν.

Ὁ χορὸς ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ, τῷ νῦν λεγομένῳ λογίῳ, καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, πρὸς τὴν σκηνὴν ἀφεώρα, ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο. καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον προσᾴδοντες πάλιν τετράμετρα ἐπέλεγον ἰσῶν στίχων. ἦν δὲ ἐπὶ τὸ πλεῖστον ις´. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν „Εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς ἠνάγκασεν ἐπὶ τὸ μέτρον παραβῆναι“ [r].

Τῶν τῆς ἀρχαίας κωμῳδίας ποιητῶν ὀνόματα καὶ δράματα.

Θερπόμπου δράματα ιζ´.
Στράττιδος δράματα ις´.
Φερεκράτους δράματα ιή.
Κράτητος δράματα ή.
Πλάτωνος δράματα κή.
Τηλεκλείδου δράματα ς.
Φουνίχου δράματα ί.

Ὅτι κατὰ τρόπους δέκα διαφέρει τὸ ἑλληνίζειν τοῦ ἀττικίζειν. κατὰ ἀναλογίαν. παρὰ τὴν ἐτυμολογίαν. παρὰ τὰ σχήματα. παρὰ τὸν σχηματισμὸν τῶν ὀνομάτων. παρὰ τὴν ἀλληγορίαν. παρὰ τοὺς ἀριθμούς. παρὰ τὰ γένη. παρὰ τὰ πνεύματα. παρὰ τοὺς χρόνους. παρὰ τοὺς τόνους. παρὰ μὲν τὴν ἀναλογίαν καὶ ἐτυμολογίαν, ὅτι οἱ μὲν ἑλληνίζοντες τούτοις μάλιστα χρῶνται, οἱ δὲ

---

r Haec emendanda ex Equit. v. 507.

ἀττικίζοντες οὐδ' ὅλως. παρὰ τὰ σχήματα, ἐπεὶ πάλιν ἔθος τοῖς Ἀττικοῖς χρῆσθαι σχήμασι, τοῖς δὲ ἑλληνίζουσιν οὐκ ἔτι. παρὰ δὲ τὸν σχηματισμὸν, ἐπειδὴ κατὰ πολλοὺς χρόνους ἐκ τῆς Ἑλληνικῆς συνηθείας μετασχηματίζεται τὰ ὀνόματα.

Παρὰ δὲ τοὺς χρόνους, ὅτι συστελλόντων τινὰ τῶν ἑλληνιζόντων αὐτοὶ ἐκτείνουσι μᾶλλον ἢ συστέλλουσι. παρὰ δὲ τὰ πνεύματα, ἐπεὶ δασύνουσιν ἔνια ψιλούντων, ἢ ψιλοῦσι δασυνόντων. παρὰ δὲ τὰ γένη, ἐπειδὴ θηλυκῶς τινα λεγόντων, ἢ οὐδετέρως, αὐτοὶ προφέρονται ἢ ἀνάπαλιν ἀρσενικῶς ἢ οὐδετέρως ἐκφέρουσι. παρὰ τοὺς ἀριθμοὺς, ἐπειδὴ ἑνικῶς τινα λεγόντων, πληθυντικῶς λέγουσιν, ἢ καὶ ἀνάπαλιν.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΙΟΣ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς πατρὸς μὲν ἦν Φιλίππου, τὸ δὲ γένος Ἀθηναῖος, τὸν δῆμον Κυδαθηναιεὺς, Πανδιονίδος φυλῆς· ὃς πρῶτος[s] δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον μεταγαγεῖν, πικρότερον καὶ αἰσχρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων ἢ ἔδει. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ, ἐξ οὗ τὴν ἀρχὴν λαβόμενοι Μένανδρός τε καὶ Φιλήμων ἐδραματούργησαν. εὐλαβὴς δὲ σφόδρα γενόμενος τὴν ἀρχὴν ἄλλως τε εὐφυὴς τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι λέγοντες αὐτὸν γεγονέναι, κατὰ τὴν παροιμίαν, ὡς ἄλλοις πονοῦντα. ὕστερον δὲ καὶ αὐτὸς ἠγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ δημαγωγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας, ἐν οἷς διελέγχει αὐτοῦ τὰς κλοπὰς καὶ τὸ τυραννικὸν, οὐδενὸς δὲ

---

s Conf. supra p. IX, 16.

τῶν σκευοποιῶν τολμήσαντος τὸ πρόσωπον αὐτοῦ σκευάσαι δι' ὑπερβολὴν φόβου, ἅτε δὴ τυραννικοῦ ὄντος, μηδὲ μὴν ὑποκρίνεσθαί τινος τολμῶντος, δι' ἑαυτοῦ Ἀριστοφάνης ὑπεκρίνατο, αὐτοῦ τὸ πρόσωπον μίλτῳ χρίσας, καὶ αἴτιος αὐτῷ γέγονε ζημίας πέντε ταλάντων, ἃ ὑπὸ τῶν Ἱππέων κατεδικάσθη, ὥς φησιν ἐν Ἀχαρνεῦσιν[t]

Ἐγὼδ' ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδὼν,
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.

διήγθρευσε δὲ αὐτῷ ὁ Ἀριστοφάνης, ἐπειδὴ ξενίας γραφὴν κατ' αὐτοῦ ἔθετο, καὶ ὅτι ἐν δράματι αὐτοῦ Βαβυλωνίοις διέβαλε τῶν Ἀθηναίων τὰς κληρωτὰς ἀρχὰς, παρόντων ξένων. ὡς ξένον δὲ αὐτὸν ἔλεγε παρόσον, οἱ μὲν αὐτόν φασι Ῥόδιον ἀπὸ Λίνδου, οἱ δὲ Αἰγινήτην, στοχαζόμενοι ἐκ τοῦ πλεῖστον χρόνον τὰς διατριβὰς αὐτόθι ποιεῖσθαι· ἢ καὶ ὅτι ἐκέκτητο ἐκεῖσι. κατὰ τινὰς δὲ, ὡς ὅτι ὁ πατὴρ αὐτοῦ Φίλιππος Αἰγινήτης. ἀπολυθῆναι δὲ αὐτὸν εὐπόντα ἀστείως ἐκ τοῦ Ὁμήρου[u] ταῦτα

Μήτηρ μέν τ' ἐμὲ φησὶ τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε·
οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.

Δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγε, καὶ οὕτω φανερὸς κατασταθεὶς πολίτης κατεκράτησε τοῦ Κλέωνος. ὅθεν φησὶν[x] „Αὐτὸς δ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅττ' ἔπαθον ἐπίσταμαι δὴ" καὶ τὰ ἑξῆς. φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι συκοφάντας καταλύσαντα, οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξίν[y], ἐν οἷς φησιν „Οἱ τοὺς πατέρας αὐτῶν ἦγχον νύκτωρ, καὶ τοὺς πάππους ἀπέπνιγον." μάλιστα δὲ ἐπῃνέθη καὶ ἠγαπήθη ὑπὸ τῶν πολιτῶν. ἐπειδὴ δὲ διὰ τῶν ἑαυτοῦ δραμάτων ἐσπούδασε δεῖξαι τὴν τῶν Ἀθηναίων πολιτείαν ὡς ἐλευθέρα τέ

t Vers. 5.
u Odyss. α, 215.
x Acharnensium v. 355.
y Vers. 1039.

ἐστι καὶ ὑπ' οὐδενὸς τυράννου δουλαγωγουμένη, ἀλλ' οὐδὲ ὅτι δημοκρατία ἐστὶ, καὶ ἐλεύθερος ὢν ὁ δῆμος ἄρχει ἑαυτοῦ, τούτου χάριν ἐπηνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα ἐν τοῖς Βατράχοις[z] περὶ τῶν ἀτίμων „Τὸν ἱερὸν χορὸν δίκαιον πολλὰ τῇ πόλει συμπαραινεῖν.“

Ὠνομάσθη δὲ ἀπ' αὐτοῦ, ἐπειδὴ ἔνδοξον, τὸ μέτρον τὸ Ἀριστοφάνειον. οὕτω δὲ γέγονεν ἡ φήμη τοῦ ποιητοῦ ὡς καὶ παρὰ Πέρσαις διήκειν καὶ τὸν βασιλέα Περσῶν πυνθάνεσθαι παρ' ὁποτέρους εἴη ὁ κωμῳδοποιός[aa]. φασὶ δὲ καὶ Πλάτωνα Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν πέμψαι τὴν Ἀριστοφάνους ποίησιν, τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν, καὶ συμβουλεῦσαι τὰ δράματα αὐτοῦ ἀσκηθέντα μαθεῖν αὐτῶν τὴν πολιτείαν. ἐγένετο δὲ καὶ αἴτιος ζήλου τοῖς νέοις κωμικοῖς, λέγω δὲ Φιλήμονι καὶ Μενάνδρῳ. ψηφίσματος γὰρ γενομένου χορηγοῦ[bb], ὥστε μὴ ὀνομαστὶ κωμῳδεῖν τινα, καὶ τῶν χορηγῶν οὐκ ἀντεχόντων πρὸς τὸ χορηγεῖν, καὶ παντάπασιν ἐκλελοιπυίας τῆς ὕλης τῶν κωμῳδιῶν διὰ τούτων αὐτῶν, αἴτιον γὰρ κωμῳδίας τὸ σκώπτειν τινὰς, ἔγραψε κωμῳδίας τινὰς, Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἆλλα πάντα ἃ ἐζήλωσε Μένανδρος. πάλιν δὲ ἐκλελοιπότος καὶ τοῦ χορηγεῖν τὸν Πλοῦτον γράψας εἰς τὸ διαναπαύεσθαι τὰ σκηνικὰ πρόσωπα καὶ μετεσκευάσθαι, ἐπιγράφει χοροῦ[cc], φθεγγόμενος ἐν ἐκείνοις ἃ καὶ ὁρῶμεν τοὺς νέους ἐπιγράφοντας οὕτω ζήλῳ Ἀριστοφάνους. ἐν τούτῳ δὲ τῷ δράματι συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ

z Vers. 686.
aa Vide Acharnens. v. 623.
bb χορηγοῦ Meinekius I. p. 35.
cc Vide Dobraeum ad Pluti v. 252.

Νικόστρατον καὶ Ἀραρότα, δι' οὗ καὶ ἐδίδαξε τὸν Πλοῦτον.

Τινὲς δὲ δύο φασὶ, Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη

Τὴν γυναῖκα δὲ[dd]
αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω,

ἴσως αὐτοὺς λέγων.

Ἔγραψε δὲ δράματα μδ', ὧν ἀντιλέγεται τέσσαρα ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ ταῦτα, Ποίησις, Ναυαγὸς, Νῆσοι, Νιόβις, ἃ τινὲς ἔφασαν εἶναι τοῦ Ἀρχίππου.

Ὁ κωμικὸς χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ', καὶ εἰ μὲν ὡς ἀπὸ τῆς πόλεως ἤρχετο ἐπὶ τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος εἰσῄει, εἰ δὲ ὡς ἀπὸ ἀγροῦ, διὰ τῆς δεξιᾶς, ἐν τετραγώνῳ σχήματι, ἀφορῶν εἰς τοὺς ὑποκριτάς. ἀναχωρούντων δὲ τῶν ὑποκριτῶν ἑπτάκις ἐστρέφετο ὁ χορὸς, προσέχων ἑφ' ἑκάτερα μέρη τοῦ θεάτρου. ἐκαλεῖτο δὲ τῷ γένει τὸ τοιοῦτον ἄνομα τῆς ὀρχήσεως παράβασις, ὁμωνύμως τῷ γένει. τὸ τρίτον μακρὸν, τὸ καὶ πνῖγος. τέταρτον στροφὴ ἢ ᾠδή. τὸ πέμπτον ἐπίρρημα. τὸ ἕκτον ἀντίστροφος ἢ ἀντῳδή. τὸ ἕβδομον ἀντεπίρρημα.

Ὑποκριταὶ Ἀριστοφάνους, Καλλίστρατος καὶ Φιλωνίδης, δι' ὧν ἐδίδασκε τὰ δράματα ἑαυτοῦ, διὰ μὲν Φιλωνίδου τὰ δημοτικὰ, διὰ δὲ Καλλιστράτου τὰ ἰδιωτικά.

Πόσα μέρη κωμῳδίας. ἀ. πρόλογος, τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ μέρος. β. χορικὸν τὸ τοῦ χοροῦ διδόμενον μέλος. γ. ἐπεισόδιον τὸ μεταξὺ δύο χορικῶν μελῶν. δ. ἔξοδος τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ. εἴρηται δὲ καὶ πόσα μέρη παραβάσεως τοῦ χορικοῦ.

---

dd δὲ] Scribebatur δ' versibus non distinctis.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς γένει μὲν ἦν Ἀθηναῖος, πατρὸς δὲ Φιλίππου, τὸν δῆμον Κυδαθηναιεύς, Πανδιονίδος φυλῆς. πάνυ δὲ ὢν εὐφυὴς καὶ ἀγχίνους ἐπὶ τοσοῦτον ἐν νέᾳ κομιδῇ τῇ ἡλικίᾳ ηὐδοκίμησεν ἐν κωμῳδίαις ὡς οὐ μόνον τοὺς κατ' αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ ὑπεραῖραι· μᾶλλον δὲ οὐδὲ τοῖς ἐπιγιγνομένοις παρῆκεν ὑπερβολήν, ἀλλὰ καὶ τούτους μετὰ πολλοῦ τοῦ περιόντος παρῆλθεν. οὔκουν ἀνεφάνη τις ὕστερον Ἀριστοφάνει παραπλήσιος. διὰ τοῦτο καὶ παρὰ τοῖς βασιλεῦσιν αὐτοῖς ἀξιοῦται θαύματος. δράματα δὲ τέσσαρα πρὸς τοῖς πεντήκοντα ἔγραψεν, ἅπαντα εὐμουσίας καὶ χάριτος Ἀττικῆς μεστά, καὶ πείθοντα τοὺς ἀκούοντας θαυμάζειν τε καὶ κροτεῖν. οὕτω δὲ τοῦ τῆς πολιτείας συμφέροντος ἐποιεῖτο λόγον, ὡς μηδένα τῶν ἐπὶ τῆς λαμπρᾶς τύχης οὐδέποτε ἀποσχέσθαι τοῦ σκώπτειν, εἰ ἀδικοῦντος ἤσθετο. ὅθεν τὴν παρρησίαν αὐτοῦ δεδιότες οἱ τοιοῦτοι μετρίους σφᾶς αὐτοὺς παρεῖχον ἀεὶ καὶ τῷ δήμῳ λυσιτελοῦντας. ἔσχε δὲ τρεῖς υἱοὺς, Φίλιππον, Νικόστρατον καὶ Ἀραρότα. ἀποθανόντα δὲ οὕτω Πλάτων ἐτίμησεν ἐν ἐπιγράμματι ἡρωελεγείῳ

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

Ἰστέον ὅτι κωμῳδία ἐκλήθη ἀπὸ τοῦ ἐν κώμαις ᾄδεσθαι τὰς κωμῳδίας (κῶμαι δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς στενωποὺς) ἢ ἀπὸ τοῦ ἐν ταῖς κωμάσεσι τοῦ Διονύσου πρῶτον ἐπιχωρῆσαι ταύταις, ἢ παρὰ τὸ κῶμα, ὁ ὕπνος. φασὶ γὰρ ὡς πρὸ τοῦ εὑρεθῆναι τοὺς κωμικοὺς ποιητὰς ἀδικούμενοί τινες ὑπό τινων ἀφανῶς ἤρχοντο ἐν νυκτὶ ἐπὶ τοὺς τῶν ἀδικούντων στενωποὺς, βοῶντες, ὁ δεῖνα ἀδικίᾳ χαίρει καὶ τὰ καὶ τὰ πράττει, θεῶν ὄντων καὶ νόμων· καὶ τούτων λεγομένων οἱ συνειδότες ἑαυτοῖς ταῦτα, σώφρονες ἐγίνοντο τοῦ λοιποῦ. ἐπεὶ οὖν ἄριστα τοῦτο ἔχον ἐδόκει καὶ τῇ πολιτείᾳ συνοῖ-

σον, ἅτε τῆς μὲν ἀδικίας ἐντεῦθεν παντάπασιν ἀναιρουμένης, δικαιοσύνης δὲ ἀντεισαγομένης καὶ τρόπων χρηστῶν, ἐτάχθησαν ἐπὶ τοῦτο οἱ κωμικοὶ ποιηταὶ, ἐν μέρει παιδιᾶς σκώμματά τε τῶν ἀδικούντων καὶ διδαχὴν ὧν προσῆκεν ἐργαζόμενοι. ᾄδοντο δὲ κωμῳδίαι ἐν τοῖς Διονυσιακοῖς ἔαρος ὥρᾳ.

ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ ΕΙΣ ΑΡΙΣΤΟΦΑΝΗΝ.

(In Anthologia Palat. vol. II. p. 63.)

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος, αἷσιν Ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνίδ' ὅσον Διόνυσον ἔχει σελίς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φορβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ ἤθεσιν Ἑλλάδος ἶσα
κωμικὲ, καὶ στύξας ἄξια καὶ γελάσας.

ΛΙΟΔΩΡΟΥ.

Ἐπιτύμβιον.

(In Anthologia Palat. vol. I. p. 348.)

Θεῖος Ἀριστοφάνευς ὑπ' ἐμοὶ νέκυς, εἴ τινα πεύθῃ
κωμικὸν, ἀρχαίης μνᾶμα χοροστασίης.

ADDENDA.

V. 5. 6. in annotatione leg. „Grammaticus supra p. XVI."

V. 96. σκοπεῖς: corr. σκοπεῖς;

V. 299. κεφαλὴν interpreti deberi apertissimum est: sed qui ei vocabulo aliud substituunt, cuius illud sit interpretatio, eorum parum probabilis sententia est. Fortasse scribendum ὑπὲρ ἐπιξήνου θελήσω τήνδ' ἔχων ἐγὼ λέγειν.

V. 355. in annotatione leg. „vitae Aristophanis supra p. XVI."

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΧΑΡΝΗΣ.

ΤΠΟΘΕΣΙΣ.

Ἐκκλησία ὑφέστηκεν[a] Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας[b] τοὺς ῥήτορας καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας[c] Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος, Ἀμφιθέου καλουμένου[d], σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα προσέρχονται[e] διώκοντες ἐν χοροῦ σχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμιωτάτοις[f] καταλεύσειν[g] ὁρμῶσιν. ὁ δὲ ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσασθαι[h], ἐφ' ᾧτ', ἂν[i] μὴ πείσῃ τὰ δίκαια λέγων[k], τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην αἰτεῖ[l] πτωχικὴν στολήν. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον; οὐκ ἀχαρίτως καθαπτόμενος Περικλέους περὶ τοῦ[m] Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δὲ

Ὑπόθεσιν om. B.

a ὑφέστηκεν] ἐφέστηκεν A.

b πολεμοποιοῦντας ACR. προπολεμοῦντας Ald.

c ἐξαπατῶντας Brunckius. Legebatur ἐξάπτοντας.

d καλουμένου add. ACR. om. Ald.

e προσέρχονται hoc loco ACR: post σχήματι Ald.

f πολεμιωτάτοις A. πολεμικωτάτοις CR. πολεμίοις Ald.

g καταλεύσειν] κατακεκλεύσειν R.

h ἀπολογήσασθαι R Ald. ἀπολογήσεσθαι Kusteri et Brunckii editiones.

i ἐφ' ᾧτ', ἄν] Scribebatur ἐφ' ᾧτε, ἐὰν. ἐφ' ὅτ' ἂν R.

k τὰ δίκαια λέγων add. ACR. om. Ald.

l αἰτεῖ hoc loco R: post στολὴν Ald.

m περὶ τοῦ R Ald. περὶ om. AC: quod probans Brunckius τοῦ τε edidit.

τινων ἐξ αὐτῶν[n] ἐπὶ τῷ[o] δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκότος[p], ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ κατενεχθεὶς ὁ χορὸς ἀπολύει τὸν Δικαιόπολιν καὶ πρὸς τοὺς δικαστὰς διαλέγεται[q] περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' ἑαυτὸν[r] εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεσκευασμένα εἰς χοιρίδια[s] φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ τοῦτον ἐκ Βοιωτῶν ἕτερος ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γόνον ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν συλλαβόμενος τινὰ[t] ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βάλλων[u] εἰς σάκκον, τοῦτον τῷ[x] Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν[y] παραδίδωσι, καὶ προσαγόντων[z] αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν Χοῶν ἑορτῆς, τοῦτον μὲν[aa] ἄγγελος παρὰ τῶν στρατηγῶν[bb] ἦκον κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰς εἰσβολὰς τηρεῖν· τὸν δὲ Δικαιόπολιν παρὰ[cc] τοῦ Διονύσου τοῦ, ἱερέως τις καλῶν[dd] ἐπὶ δεῖπνον ἔρχεται.

---

n ἐξ αὐτῶν add. ACR. om. Ald.

o τῷ] τὸ R.

p αὐτοῦ εἰρηκότος R. εἰρηκότος αὐτοῦ Ald.

q διαλέγεται hoc loco R: post ἄλλων τινῶν Ald.

r ἑαυτὸν Brunckii editio: αὐτὸν Ald.

s Hoc ordine Brunckii editio: εἰς χοιρίδια διεσκευασμένα παιδία ἑαυτοῦ Ald.

t τινὰ Ald. τινὰς AC.

u βάλλων Brunckii editio. βαλὼν Ald.

x τοῦτον τῷ R. τοῦτόν τε τῷ Ald.

y Ἀθηνῶν Brunckii editio. ἀθηναίων Ald.

z προσαγόντων ACR. προσαποστελλόντων Ald.

aa μὲν accessit ex R.

bb τῶν στρατηγῶν] τὸν στρατηγὸν R.

cc παρὰ] περὶ R.

dd Hoc ordine R. τοῦ ἱερέως τοῦ διονύσου καλῶν τις Ald.

καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων ἐπανήκει[ee], ὁ δὲ Λικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθυμένους ἄρχοντος[ff] ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν· δεύτερος Κρατῖνος Χειμαζομέναις. οὐ σώζονται[gg]. τρίτος Εὔπολις Νουμηνίαις.

Ἀριστοφάνους γραμματικοῦ.

Ἐκκλησίας οὔσης παραγίνονταί τινες
πρέσβεις παρὰ Περαῶν καὶ παρὰ Σιτάλκους πάλιν,
οἱ μὲν στρατιὰν ἄγοντες, οἱ δὲ χρυσίον·
παρὰ τῶν Λακεδαιμονίων τε μετὰ τούτους τινὲς
σπονδὰς φέροντες, οὓς Ἀχαρνεῖς οὐδαμῶς
εἶασαν, ἀλλ' ἐξέβαλον, ὧν καθάπτεται
σκληρῶς ὁ ποιητής. αὐτὸ τὸ ψήφισμά τε
Μεγαρικὸν ἱκανῶς φησὶ, καὶ τὸν Περικλέα
οὐκ τῶν Λακώνων τῶνδε πάντων αἴτιον,
σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν.

---

ee ἐπανήκει hoc loco R Ald.: post ἀναλύων AC.

ff Olympiad. LXXXVIII, 3.

gg σώζονται R. σώζεται Ald. οὐ σώζονται post Νουμηνίαις transponi mavult Elmsleius.

Argumentum metricum om. ABC.

V. 2. πρέσβεις add. R. om. Ald. πάλιν om. R.

V. 4. τε Ald. καὶ R.

V. 6. ἐξέβαλον Ald. ἐξέβαλλον R.

V. 7. αὐτὸ τὸ ψήφισμά τε et postremos versus tres om. R.

V. 8. ἱκανῶς Brunckius. ὡς ἱκανῶς Ald.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ΚΗΡΥΞ.
ΑΜΦΙΘΕΟΣ.
ΠΡΕΣΒΕΙΣ Ἀθηναίων παρὰ βασιλέως ἥκοντες.
ΨΕΥΔΑΡΤΑΒΑΣ.
ΘΕΩΡΟΣ.
ΧΟΡΟΣ ΑΧΑΡΝΕΩΝ.
ΓΥΝΗ Δικαιοπόλιδος.
ΘΥΓΑΤΗΡ Δικαιοπόλιδος.
ΚΗΦΙΣΟΦΩΝ.
ΕΥΡΙΠΙΔΗΣ.
ΛΑΜΑΧΟΣ.
ΜΕΓΑΡΕΥΣ.
ΚΟΡΑΙ θυγατέρες τοῦ Μεγαρέως.
ΣΥΚΟΦΑΝΤΗΣ.
ΒΟΙΩΤΟΣ.
ΝΙΚΑΡΧΟΣ.
ΘΕΡΑΠΩΝ Λαμάχου.
ΓΕΩΡΓΟΣ.
ΠΑΡΑΝΥΜΦΟΣ.
ΑΓΓΕΛΟΙ.

ΑΧΑΡΝΗΣ.

ΔΙΚΑΙΟΠΟΛΙΣ. ΚΗΡΥΞ. ΑΜΦΙΘΕΟΣ. ΠΡΕΣΒΕΙΣ ΑΘΗΝΑΙΩΝ. ΨΕΥΔΑΡΤΑΒΑΣ. ΘΕΩΡΟΣ. ΧΟΡΟΣ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν,
ἤσθην δὲ βαιὰ, πάνυ δὲ βαιὰ τέτταρα·
ἃ δ' ὠδυνήθην, ψαμμακοσιογάργαρα.
φέρ' ἴδω, τί δ' ἤσθην ἄξιον χαιρηδόνος;
ἐγῷδ' ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδὼν,
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.

VARIETAS LECTIONIS.

V. 1 — 16. Ex his versibus plura attulit Gregorius Cor. ad Hermogenem περὶ μεθόδου δεινότητος in Reiskii Oratoribus vol. VIII. p. 968.

V. 1. δὴ om. Δ. Versum attulit Philemo lexic. in ὅσα p. 49.

V. 2. ἤσθην δὲ] ἤσθην μὲν Γ deleto ab alia manu μὲν et superne adscripto δὲ.

V. 3. ψαμμοκοσιογάργαρα libri et Macrobius Saturnal. V, 20. et Suidas in γάργαιρε, καρκαίρω, κόσσια et ψαμμοκοσιογάργαρα. Correctum ex Hesychio, cuius in codice ψαμμακόσια γάργαρα scriptum, et Eustathio p. 986, 52.

V. 4. φέρε δ' ἴδω τί δ' ἤσθην Gregorius. χαιρηδόνος] χειρηδόνος Γ.

V. 5. 6. Grammaticus in Commentariis in Nubes p. XXXVI.

V. 5. ἐγῷδ'] ἐγὼ δ' Γ, ἔχ' ὦδ' in margine ab alia manu.

V. 6. ἐξέμεσεν Δ.

ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας
διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.
ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικὸν,
ὅτε δὴ 'κεχήνη προσδοκῶν τὸν Αἰσχύλον,
ὁ δ' ἀνεῖπεν, εἴσαγ' ὦ Θέογνι τὸν χορόν.
πῶς τοῦτ' ἔσεισέ μου δοκεῖς τὴν καρδίαν;
ἀλλ' ἕτερον ἦσθην, ἡνίκ' ἐπὶ μόσχῳ ποτὲ
Δεξίθεος εἰσῆλθ' ᾄσόμενος Βοιώτιον.
τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδὼν,
ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.
ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς
ὡς νῦν, ὁπότ' οὔσης κυρίας ἐκκλησίας
ἑωθινῆς ἔρημος ἡ πνὺξ αὐτηί·
οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι κἄνω καὶ κάτω
τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον·

V. 7. 8. καὶ φιλῶ — τοὔργον] Scholiasta ad v. 299.

V. 8. ἄξιον γὰρ Ἑλλάδι] Euripides in Telepho apud scholiastam Κακῶς ὀλοίτην· ἄξιον γὰρ Ἑλλάδι. ὀλοίτην Elmsleius: schol. ὄλοιτ' ἄν.

V. 10. 'κεχήνη Bentleius. Libri κεχήνη. Etymol. M. p. 386, 30. ἰστέον δὲ ὅτι τὸ διαλυθὲν ἐκ τοῦ Ἰωνικοῦ συναιροῦσιν οἱ Ἀθηναῖοι καὶ ποιοῦσιν εἰς η πεποιήκη λέγοντες· ὅθεν παρὰ Ἀριστοφάνει, ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον. Photius lexic. p. 160, 6. ab Porsono indicatus Κεχήνη: κεχηνὼς ἦμην· ὡς τὸ ᾔδη (ᾖδεα) ᾔδειν. Herodianus in Hortis Adonidis fol. 198 recto, Ποῦ συναιροῦσιν οἱ Ἀθηναῖοι τὸ διαλυθὲν τῆς ει διφθόγγου παρὰ τοῖς Ἴωσιν εἰς η, οἷον ἐκποίηκα ἐπεποιήκην. ὅθεν τὸ ἐκεχήνην ἐγὼ διὰ τοῦ η παρὰ Ἀριστοφάνει, οἷον Ὅτε διεκεχήνην (hoc est δὴ ἐκεχήνην) προσδοκῶν τὸν Αἰσχύλον.

V. 11. ἀνεῖπεν] ἀνεῖπ' Suidas in ἀνεῖπεν.

V. 12. ἔσεισέ μου τὴν καρδίαν attulerunt Phrynichus in Bekkeri Anecd. I. p. 41, 12. et Suidas in ἔσεισα.

V. 17. 18. Suidas in ῥύπτει.

V. 18. κονίας τὰς R, scholiasta et Suidas. κονίας γε τὰς Γ γε ab alia manu scripto. Legebatur κονίαις γε τὰς.

V. 20. ἡ πνὺξ αὐτηὶ Γ. ἡ πνὺξ ἥδε Δ.

V. 22. Suidas in σχοινίον.

οὐδ' οἱ πρυτάνεις ἤκουσεν, ἀλλ' ἀωρίᾳ
ἥκοντες, εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς
ἐλθόντες ἀλλήλοισι περὶ πρώτου ξύλου,
ἀθρόοι καταρρέοντες· εἰρήνη δ' ὅπως
ἔσται προτιμῶσ' οὐδέν· ὦ πόλις, πόλις.
ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
νοστῶν κάθημαι· κἄτ' ἐπειδὰν ὦ μόνος,
στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι,
ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι,
ἀποβλέπων εἰς τὸν ἀγρὸν, εἰρήνης ἐρῶν,
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν,
ὃς οὐδεπώποτ' εἶπεν, ἄνθρακας πρίω,
οὐκ ὄξος, οὐκ ἔλαιον, οὐδ' ᾗδην πρίω,
ἀλλ' αὐτὸς ἔφερε πάντα χὠ πρίων ἀπῆν.
νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος
βοᾶν, ὑποκρούειν, λοιδορεῖν τοὺς ῥήτορας,
ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.
ἀλλ' οἱ πρυτάνεις γὰρ οὗτοι μεσημβρινοί.
οὐκ ἠγόρευον; τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον·

V. 23. *ἀωρίᾳ* Suidas in *ἀωρία*. Libri *ἀωρίαν* (*ὡρίαν* A).

V. 25. *ἐλθόντες ἤδη περὶ πρώτου ξύλου* attulit schol. ad Vespas 90.

V. 26. *ἀθρόοι*] *ἄθροοι* scholiasta. *ἄθροι* Suidas in h. v.

V. 30. *σκορδινῶμαι*] Erotianus in *κορδίνημα* p. 200.

V. 31. 32. Suidas in *ἀπορῶ*.

V. 32 — 36. Stobaeus Florileg. LVI, 8. vol. II. p. 407.

V. 33. *στυγῶν*] *στυγῶ* Stobaeus. *δῆμον*] *δήπου* Stobaeus.

V. 35. *ὄξος*] *ὄξος ὄψον* Stobaeus. *οὐδ' ᾗδην* Elmsleius. *οὐδ' ἥδη* B*Δ*. *οὐδ' ᾖδει* Aldina. *οὐδ' ἥδειν* Suidas in *πρίων*, ubi verba *ὁ πρίων. ἀπῆν οὐδ' ἥδειν πρίω* attulit. Stobaei libri partim *οὐχ ἡ δὴ* partim *οὐχὶ δεῖ*.

V. 36. *πρίων*. Ab imperativo *πρία* finxit nomen *πρίων*, nullo ad verbum *πρίειν* respectu, quae fuit inepta quorundam opinio.

V. 38. *ὑποκρούειν τοὺς ῥήτορας* ex hoc loco sumsit Phrynichus in Bekkeri Anecd. I. p. 68, 10.

V. 39. *πλὴν*] *πρὶν Γ*.

εἰς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται.

ΚΗΡΥΞ.

πάριτ' εἰς τὸ πρόσθεν,
πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

ΑΜΦΙΘΕΟΣ.

ἤδη τις εἶπε;

ΚΗΡΥΞ.

τίς ἀγορεύειν βούλεται;

ΑΜΦΙΘΕΟΣ.

ἐγώ.

ΚΗΡΥΞ.

τίς ὤν;

ΑΜΦΙΘΕΟΣ.

Ἀμφίθεος.

ΚΗΡΥΞ.

οὐκ ἄνθρωπος;

ΑΜΦΙΘΕΟΣ.

οὔ,
ἀλλ' ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Λήμητρος ἦν
καὶ Τριπτολέμου· τούτου δὲ Κελεὸς γίγνεται·
γαμεῖ δὲ Κελεὸς Φαιναρέτην, τήθην ἐμήν,
ἐξ ἧς Λυκῖνος ἐγένετ'· ἐκ τούτου δ' ἐγὼ
ἀθάνατός εἰμ'· ἐμοὶ δ' ἐπέτρεψαν οἱ θεοὶ
σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
ἀλλ' ἀθάνατος ὤν, ὦνδρές, ἐφόδι' οὐκ ἔχω·
οὐ γὰρ διδόασιν οἱ πρυτάνεις.

V. 45. εἶπε] εἶπεν Γ.

V. 52. ποιεῖσθαι] ποιῆσαι Elmsleius. Conf. ad v. 58. 131.

V. 53. ὦνδρες] ἄνδρες R.

V. 54. ΚΗΡΥΞ] „In B personam scripserat primo librarius Κήρυξ, sed ipse postmodo correxit reposuitque Πρύτανις." Brunckius, qui et haec verba et τίς ὤν; et οὐκ ἄνθρωπος; et κάθησο σῖγα v. 46. 59. prytani tribui voluit. Scholiasta ad v. 54. τοῦτό φησιν εἰς τῶν πρυτάνεων κελεύων ἐκβαλεῖν τὸν Ἀμφίθεον ὡς ὑβριστήν.

ΚΗΡΥΞ.

οἱ τοξόται.

ΑΜΦΙΘΕΟΣ.

ὦ Τριπτόλεμε καὶ Κελεὲ, περιόψεσθέ με;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦνδρες πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν
τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε
σπονδὰς ποιῆσαι καὶ κρεμάσαι τὰς ἀσπίδας.

ΚΗΡΥΞ.

κάθησο σίγα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.

ΚΗΡΥΞ.

οἱ πρέσβεις οἱ παρὰ βασιλέως.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσι,
καὶ τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασιν.

ΚΗΡΥΞ.

σίγα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

βαβαιὰξ, ὠκβάτανα, τοῦ σχήματος.

V. 57. τὸν ἄνδρ' ἀπάγοντες] Suidas in ἀπάγειν.

V. 57. 58. ὅστις — ἀσπίδας] Phrynichus in Bekkeri Anecd. I. p. 45, 5.

V. 58. ποιῆσαι] ποεῖσθαι R.

τὰς ἀσπίδας] τὴν ἀσπίδα Suidas in κρεμόω.

V. 61. οἱ πρέσβεις οἱ παρὰ βασιλέως RΓ. οἱ παρὰ βασιλέως πρέσβεις Ald. οἱ πρέσβεις scholio praefixum.

V. 62. ἄχθομαι 'γὼ] ἄχθομαι γὰρ ὡς AC. Idem in Δ inventum esse suspicor, ex quo per errorem vulgata enotata scriptura est ἄχθομαι 'γὼ.

V. 63. ἄχθομαι τοῖς ταῶσι τοῖς τ' ἀλαζονεύμασιν attulit Suidas in ἄχθομαι.

V. 64. Theodosius περὶ γραμματικῆς p. 79, 12. τὸ βαβαιὰξ ὦν βάτανα τοῦ φρονήματος non nominato scriptore apposuit. βαβαιὰξ ὦε βάτανα τοῦ φρονήματος Suidas in ἐποποῖ.

ΠΡΕΣΒΥΣ.

ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν,
μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας
ἐπ' Εὐθυμένους ἄρχοντος·

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οἴμοι τῶν δραχμῶν.

ΠΡΕΣΒΥΣ.

καὶ δῆτ' ἐτρυχόμεσθα παρὰ Καΰστριον
πεδίον ὁδοιπλανοῦντες, ἐσκηνημένοι,
ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,
ἀπολλύμενοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

σφόδρα γὰρ ἐσωζόμην ἐγὼ
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος.

ΠΡΕΣΒΥΣ.

ξενιζόμενοι γὰρ πρὸς βίαν ἐπίνομεν
ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων
ἄκρατον οἶνον ἡδύν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ Κρανααὶ πόλις,
ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;

ΠΡΕΣΒΥΣ.

οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους

V. 65, 66. Suidas in *φέρειν* et Photius lex. p. 644, 19.

V. 65. *μέγαν*] *μέγα* R.

V. 66. *φέροντας*] ς littera in *Γ* ab alia manu est. *δύο*] *οὐ* Suidas et Photius.

V. 67. *ἐπ' Εὐθυμένους*] Olymp. LXXXV, 2.

V. 68. *ἐτρυχόμεσθα*] *ἐπευχόμεθα Δ*. *παρὰ* R. Legebatur *διὰ*. *Καΰστριον πεδίον*] Libri *τῶν καϋστρίων πεδίων*.

V. 69. *ὁδοιπλανοῦντες*] *ὁδοιπλανῶντες* ΑΓ. *ὁδοιπλανοῦντες* Β.

V. 72. *ἔπαξιν Γ*.

V. 73. *γὰρ* R. *δὲ* Ald.

V. 74. Pollux VI, 100. X, 68. grammaticus in Montefalcon. Biblioth. Coisliniana p. 476. *ἐκπωμάτων*] *ποτηρίων* grammaticus Coislin.

τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἡμεῖς δὲ λακαστάς τε καὶ καταπύγονας.

ΠΡΕΣΒΥΣ.

ἔτει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν·
ἀλλ' εἰς ἀπόπατον ᾤχετο, στρατιὰν λαβών,
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;

ΠΡΕΣΒΥΣ.

τῇ πανσελήνῳ· κἄτ' ἀπῆλθεν οἴκαδε.
εἶτ' ἐξένιζε, παρετίθει θ' ἡμῖν ὅλους
ἐκ κριβάνου βοῦς.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.

V. 78. φαγεῖν F. Morellus ad Libanium p. 317. ab Porsono indicatus et Bentleius. Legebatur καταφαγεῖν (καταφυγεῖν Γ) consentiente scholiasta, qui ἐμφατικῶς ἡ κατά, inquit, ὥσπερ καὶ τὸ ἐμφαγεῖν. Theophilus Athenaei X. p. 417 a. ἀνδρῶν ἁπάντων πλεῖστα δυνάμενος φαγεῖν. τε om. B.

V. 79. ἡμεῖς] ὑμεῖς Γ. λακαστάς] λακαστάψ Γ. λευκαστάς Δ.

V. 80. δ' om. R.

V. 81 — 85. Suidas in ἀποπάτημα.

V. 82. ὀρῶν Brunckius. ὁρῶν A. ὄρων BC, Ald. ὄρων Suidas et editio Kusteriana.

V. 83. Suidas in πανσελήνῳ.

V. 84. τῇ πανσελήνῳ; Dicaeopolidi tribui vult Elmsleius speciose, sed non vere.

V. 85 — 89. Athenaeus IV. 130 f.

V. 85. εἶτα ἐξένιζε, παρετίθει δ' ἡμῖν βοῦς καὶ κριβανίτας. Suidas in κριβανον. ἐξένιζε] ἐξένιζε καὶ R. παρετίθει δ' Invernizius: quod mihi in Athenaeo, ubi παρετίθει δ' editum erat, duo praebuerunt codices. παρετίθετ' R. παρετίθει δ' Ald. ὅλους] ὀπτοὺς R. ὀπτοὺς (γρ. καὶ ὅλους) Γ.

V. 87. βοῦς κριβανίτας] Pollux X, 110. κριβανίτας] καὶ κριβανίτας Δ cum Suida.

ΠΡΕΣΒΥΣ.

καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ Φέναξ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ταῦτ' ἄρ' ἐφενάκιζες σὺ, δύο δραχμὰς φέρων.

ΠΡΕΣΒΥΣ.

καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
τὸν βασιλέως ὀφθαλμόν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐκκόψειέ γε
κόραξ πατάξας, τόν τε σὸν τοῦ πρέσβεως.

ΚΗΡΥΞ.

ὁ βασιλέως ὀφθαλμός.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦναξ Ἡράκλεις·
πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύφραχτον βλέπεις,
ἢ περὶ ἄκραν κάμπτων νεώσοικον σκοπεῖς;
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.

ΠΡΕΣΒΥΣ.

ἄγε δὴ σὺ, βασιλεὺς ἄττα σ' ἀπέπεμψεν φράσον
λέξοντ' Ἀθηναίοισιν, ὦ Ψευδαρτάβα.

ΨΕΥΔΑΡΤΑΒΑΣ.

ἰαρταμὰν ἔξαρξ' ἀναπισσόναι σάτρα.

V. 91. ἄγοντες ἥκομεν] ἥκοντες ἄγομεν R.

V. 92. τόν τε σὸν Elmsleius. Libri τόν γε σόν.

V. 95. Suidas in ναύφραχτον.

V. 96. κάμπτων νεώσοικον] νεὼς κάμπτων οἶνον R.

V. 98 — 103. Legati verba praeconi tribuit Ald. Correxit Brunckius ex B.

V. 98. βασιλεὺς] βασιλεῖ Γ. ἄττα σ' ἀπέπεμψεν Brunckius. ἄττα σ' ἀπέπεμψε Portus et Kusterus. ἄττα σ' ἀπέμψε Ald. ἄττ' ἄν σ' ἀπέπεμψεν R. ἄττα σ' ἐπέπεμψε Γ. ἄττα σ' ἔπεμψε Δ.

V. 99. Ψευδαρτάβα] ψευδαρσώβα Ald.

V. 100. 104. Pseudartabae personae notam om. Ald., neque Pseudartabam in indice personarum retulit.

V. 100. ἔξαρξ' ἀναπισσόναι σάτρα Brunckius. ἐξάρξαν ἀπίσσονα σάτρα AC. ἐξαρξὰν ἀπίσσομαι σάτρα B Δ. ἔξαρξας πισόναστρα R. ἐξαρ-

ΠΡΕΣΒΥΣ.

ξυνήκασθ' ὃ λέγει;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μὰ τὸν Ἀπόλλω, γὼ μὲν οὔ.

ΠΡΕΣΒΥΣ.

πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.

ΨΕΥΔΑΡΤΑΒΑΣ.

οὐ λῆψιν χρῦσο, χαυνοπρῳκτ' Ἰαοναῦ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οἴμοι κακοδαίμων, ὡς σαφῶς.

ΠΡΕΣΒΥΣ.

τί δαὶ λέγεις-

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὅ τι; χαυνοπρώκτους τοὺς Ἴάονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.

ΠΡΕΣΒΥΣ.

οὔκ, ἀλλ' ἀχάνας ὄδε γε χρυσίου λέγει.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ποίας ἀχάνης; σὺ μὲν ἀλαζὼν εἶ μέγας.

ξὰν ἀπισσονασάτρα Ald. Suevernius in Commentatione de Avibus p. 93. Haec ita est interpretatus, ἡ μὴν τὸν Ἀρταξέρξην ἀναπείσας σαθρόν.

V. 101. ξυνήκασθ' editiones Kusteriana priores. λέγει] λέξει Δ.

V. 104. οὐ λήψη χρυσοχαυνοπρῶκτ' Γ. οὐ λῆψιχρυσο χαυνόπρωκτ' Δ.

V. 105 — 110. Sic personas distinxit Brunckius in annotatione. δι. οἴμοι — κἠ. τί δ' αὖ —. δι. ὅ τι; —. πρ. οὔκ, ἀλλ' —. δι. ποίας — οὐ δήπου στρατῶν BR. κἠ. οἴμοι —. δι. τί δ' αὖ —. κἠ. ὅτι —. δι. οὔκ, ἀλλ' —. κἠ. ποίας —. δι. ἀλλ' ἀπισθ' — οὐ δήπου στρατῶν Ald.

V. 105. οἴμοι] οἴμοι, μαι Γ. δαὶ Elmsleius. Libri δ' αὖ.

V. 106. Ἴάονας] ἰᾶνας Δ.

V. 107. χρυσίον] χρυσὸν Elmsleius.

V. 108. ἀχάνας χρυσίου ex hoc loco memorat Pollux X, 164. ὄδε γε Bentleius. Libri ὁδί γε.

V. 801. παίειν om. R. μάζαν ABCΔ Ald. et, ut opinor, RΓ. μάδδαν Portus et Kusterus, quod est v. 698.

ΧΟΡΟΣ.

εὐδαιμονεῖ γ' ἄνθρωπος. οὐκ ἤκουσας οἷ προβαίνει
τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἀνὴρ
ἐν τἀγορᾷ καθήμενος·
κἂν εἰσίῃ τις Κτησίας,
ἢ συκοφάντης ἄλλος, οἰ-
μώζων καθεδεῖται·
οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖται·
οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι·
οὐδ' ὡστιεῖ Κλεωνύμῳ·
χλαῖναν δ' ἔχων φανὴν δίει·
κοὐ ξυντυχών σ' Ὑπέρβολος
δικῶν ἀναπλήσει·
οὐδ' ἐντυχὼν ἐν τἀγορᾷ πρόσεισί σοι βαδίζων

V. 802 — 807. = 808 — 813.

V. 802. 803. Libri ἄνθρωπος et ἀνήρ.

V. 802. προβαίνει] προυβαίνει ΓΔ.

V. 804. ἐν τ' ἀγορᾷ BCΓΔ. Scribebatur ἐν τῇ 'γορᾷ.

V. 805. εἰσίῃ] εἰσίει R.

V. 807. οἰμώζων] οἰμώζων γε Δ, quod respondet vitiosae scripturae versus 813.

V. 808. ὑποψωνῶν] ὑποφαίνων R. πημανεῖται] πημανεῖ τις Elmsleius. οὐδὲ Κτησίας ὁ συκοφάντης πημανεῖ ex hoc loco attulit Suidas in πημανεῖ.

V. 809. ἐξομόρξεται] ἐναπομόρξεται Suidas in h. v.: quod legisse videtur scholiasta, qui pariter atque Suidas interpretetur ἐναποψήσεται, ἐναπομάξει. Grammaticus in Mingarelli Catalogo codicum Nanianorum Graec. p. 494. ex Aristophane attulit τὴν εὐρυπρωκτίαν σοι ἐναποψήσεται· ὃ ἐστιν ἀπομάξει. Πρέπις] Apud Suidam bis Πρέμις scriptum. σοι] σου A.

V. 812. 813. Suidas in Ὑπέρβολον.

V. 812. ξυντυχών σ' R et Suidas. Aberat σ', quod apud Suidam pariter excidit in codice Oxoniensi.

V. 813. δικῶν σε καταπλήσει Δ. Vid. ad v. 807. δικῶν ἐμπλήσει Suidae codex Oxoniensis.

V. 814 — 819. = 820 — 825.

V. 814. ἐν τ' ἀγορᾷ BCΓΔ. Scribebatur ἐν τῇ 'γορᾷ.

Κρατῖνος ἀεὶ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ,
ὁ περιπόνηρος Ἀρτέμων,
ὁ ταχὺς ἄγαν τὴν μουσικήν,
ὄζων κακὸν τῶν μασχαλῶν
πατρὸς τραγασαίου·
οὐδ' αὖθις αὖ σε σκώψεται Πανάων ὁ παμπόνηρος,
Λυσίστρατός τ' ἐν τἀγορᾷ, Χολαργέων ὄνειδος,
ὁ περιαλουργὸς τοῖς κακοῖς,
ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
πλεῖν ἢ τριάκονθ' ἡμέρας
τοῦ μηνὸς ἑκάστου.

V. 815. Suidas in μοιχός. ἀεὶ κεκαρμένος] αὖ κεκαρμένος Elmsleius. ἀποκεκαρμένος Reisigius I. p. 46. μιᾷ μαχαίρᾳ] Photius lexic. p. 269, 15.

V. 816 — 819. Suidas in ὄζων.

V. 816. Libri οὐδ' ὁ περιπόνηρος. οὐδ' ὥσπερ ὁ πονηρὸς Suidas. οὐδ' delendum esse viderunt Bentleius et Porsonus, quorum emendationem scholiastae verbis confirmavit Elmsleius, παρ' ὑπόνοιαν δὲ ἔφη τὸ Ἀρτέμων· οὐ γὰρ τοῦτον, ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλώσειν.

V. 818. κακὸν] κακῶν A. κἀκ Suidas bis.

V. 819. τραγασαίου] Vide ad v. 774.

V. 821. Λυσίστρατός ἐστιν ἐν ἀγορᾷ scholiasta Vespar. v. 872. ἐν τ' ἀγορᾷ BCΓΔ. ἐν ἀγορᾷ Ald.

V. 822 — 825. Suidas in περιαλουργός.

V. 824. πλεῖν] πρὶν lemma scholii.

ΒΟΙΩΤΟΣ. ΔΙΚΑΙΟΠΟΛΙΣ. ΝΙΚΑΡΧΟΣ. ΧΟΡΟΣ.
ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ. ΚΗΡΥΞ. ΓΕΩΡΓΟΣ.
ΠΑΡΑΝΥΜΦΟΣ. ΑΓΓΕΛΟΙ. ΛΑΜΑΧΟΣ.

ΒΟΙΩΤΟΣ.

Ἴττω Ἡρακλῆς, ἔκαμόν γα τὰν τύλαν κακῶς.
κατάθου τὺ τὰν γλαῖχων· ἀτρέμας Ἰσμηνία·
ὑμὲς δ', ὅσοι Θείβαθεν αὐλητὰ πάρα,
τοῖς ὀστίνοις φυαῖτε τὸν πρωκτὸν κυνός.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προσέπταν'; οἱ κακῶς ἀπολούμενοι
ἐπὶ τὴν θύραν μοι Χαιριδῆς βομβαύλιοι;

ΒΟΙΩΤΟΣ.

νὴ τὸν Ἰόλαον, ἐπιχαίττως γ' ὦ ξένε·
Θείβαθι γὰρ φυσᾶντες ἐξόπισθέ μου
τἄνθεια τᾶς γλάχωνος ἀπέκιξαν χαμαί.

V. 826. Ἴττω] ἴστω γ' Suidas in τύλα. γα om. Suidas.

V. 827. Ἰσμηνία] Ἰσμήνιχε v. 925.

V. 828. ὑμὲς] ὑμεῖς ΓΔ. Θείβαθεν] Θείαθεν AC. Θήβαθεν BΔ.

V. 829. Suidas in ὀστίνοις et πρωκτός. ὀστίνοις] Antiatticista in Bekkeri Anecd. I. p. 110, 27. ὄστινα : τὰ ὀστᾶνα. Ἀριστοφάνης. φυσῆτε] φυσᾶν τε Suidas in πρωκτός.

V. 831. προσέπταν' R. Legebatur προσέπταν.

V. 832. Χαιριδῆς Brunckius. Libri χαιριδεῖς.

V. 833. Ἰόλαον] ἰώλαον R. ἐπιχαίττως γ' ὦ Elmsleius. ἐπιχαίττως γ' ὦ ABCRΓ. ἐπιχαίτως ἄν γ' ὦ Ald.

V. 834. Θείβαθι] Θήβαθι B. φυσᾶντες] φυσῶντες A. φυσῶντες Γ.

V. 835. τἄνθεια BΔ. τάνθια R. τάνθεια ACΓ. καὶ τ' ἄνθεια Ald. ἀπέκιξαν] ἀπέκιεξαν Hesychius: quod in editionem Porti et alias quasdam receptum est. χαμαί] χαμοὺς A.

ἀλλ' εἴ τι βούλει, πρίασο, τῶν ἐγὼ φέρω,
τῶν ὀρταλίχων, ἢ τῶν τετραπτερυλλίδων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον.
τί φέρεις;

ΒΟΙΩΤΟΣ.

ὅσ' ἐστὶν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
ὀρίγανον, γλαχώ, ψιάθως, θρυαλλίδας,
φάσσας, κολοιούς, ἀτταγᾶς, φαλαρίδας,
τροχίλους, κολύμβους.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὡσπερεὶ χειμὼν ἄρα
ὀρνιθίας εἰς τὴν ἀγορὰν ἐλήλυθας.

ΒΟΙΩΤΟΣ.

καὶ μὰν φέρω χᾶνας, λαγώς, ἀλώπεκας,
σκάλοπας, ἐχίνους, αἰελούρους, πικτίδας,
ἰκτίδας, ἐνύδρους, ἐγχέλεις Κωπαΐδας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
δός μοι προσειπεῖν, εἰ φέρεις τὰς ἐγχέλεις.

ΒΟΙΩΤΟΣ.

πρέσβειρα πεντήκοντα Κωπάδων κορᾶν,

V. 838. ὦ χαῖρε χαῖρε κολλικοφάγε Δ. κολλικοφάγε] κολικοφάγε Γ. κολλικοφάγε scriptum apud Athenaeum III. p. 112 f. Stephanum Byzant. in Βοιωτία, Erotianum et Galenum p. 202. 504. ed. Franz.

V. 839. ἐστὶν AR. ἔστ' ἂν Ald.

V. 841. 842. Athenaeus IX. p. 395 e.

V. 842. χειμὼν ἄρα ὀρνιθίας] Suidas in ὀρνιθίας, Phrynichus in Bekkeri Anecd. I. p. 55, 30. et scholiasta ad Pacis v. 1003.

V. 843. εἰς Δ, Phrynichus, scholiasta ad Pacem. Scribebatur ἐς.

V. 845. σκάλοπας] Etymolog. M. p. 715, 29. πικτίδας ACΓ. πυκτίδας Ald.

V. 846. ἰκτίδας] ἰκτῖδας Brunckius. ἰκτιδας lemma scholii. ἐνύδρους] ἐνύδριις Scaliger. ἐνύδριας Elmsleius.

V. 849. Parodia versus Aeschylei ex Ὅπλων κρίσει ab scho-

ἔκβαθι τῷδε κἠπιχαρίττα τῷ ξένῳ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη,
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
φίλη δὲ Μορύχῳ. δμῶες ἐξενέγκατε
τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
σκέψασθε παῖδες τὴν ἀρίστην ἔγχελυν,
ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην·
προσείπατ' αὐτὴν ὦ τέκν'· ἄνθρακας δ' ἐγὼ
ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
ἀλλ' εἴσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.

ΒΟΙΩΤΟΣ.

ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾶ γενήσεται;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί·
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων, λέγε.

---

liasta conservati, δέσποινα πεντήκοντα Νηρῄδων κορῶν. Κωπῴδων Elmsleius. Libri κωπαΐδων.

V. 850. τῷδε] τῶνδε A. τῶδε (i. e. σπυριδίου) Brunckius. τᾷδε Elmsleius. κηπιχαρίττα Brunckius. κηπιχάριττα Ald. κηπιχαρίτως Δ. Etymolog. M. p. 367, 19. ἐπιχαρίττα: ἀντὶ τοῦ ἐπιχαρίζου, Βοιωτικῶς, παρὰ Ἀριστοφάνει.

V. 852. τρυγῳδικοῖς] τραγῳδικοῖς A.

V. 854. ῥιπίδα] Pollux X, 94.

V. 855. σκέψασθε] σκέψασθε δὲ Γ. ἀρίστην] κρατίστην Athenaeus VII. p. 299 a. et ex Athenaeo Eustathius ad Homerum p. 1240, 19. et grammaticus Hermanni p. 321.

V. 856. ἔτει (β) ποθουμένην (α) Γ.

V. 859. εἴσφερ'] Scribebatur ἔσφερ'. μηδὲ γὰρ θανών ποτε] Euripides Alcest. v. 374. ab Berglero comparatus

μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην, τῆς μόνης πιστῆς ἐμοί.

V. 860. χωρὶς εἴην] χωρισθείην Suidas in ἐντετευτλανωμένης.

V. 861. πᾶ] παῖ AB. Hoc est πᾷ.

ΒΟΙΩΤΟΣ.

λώγα ταῦτα πάντα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

φέρε, πόσου λέγεις;
ἢ φορτί' ἔτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις ἰών;

ΒΟΙΩΤΟΣ.

ὅ τι γ' ἔστ' Ἀθάναις, ἐν Βοιωτοῖσιν δὲ μή.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικάς,
ἢ κέραμον.

ΒΟΙΩΤΟΣ.

ἀφύας, ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·
ἀλλ' ὅ τι παρ' ἁμῖν μή 'στι, τᾆδε δ' αὖ πολύ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐγᾦδα τοίνυν· συκοφάντην ἔξαγε
ὥσπερ κέραμον ἐνδησάμενος.

ΒΟΙΩΤΟΣ.

νὴ τὼ σιώ,
λάβοιμι μέντἂν κέρδος ἀγαγὼν καὶ πολύ,
ᾧπερ πίθακον ἀλιτρίας πολλᾶς πλέων.

V. 864. *λώγα*] *λώγε* A.

V. 865. *ἐνθένδ' ἐκεῖσ'* C. *ἐνθένδε κεῖσ'* editiones ante Brunckium. *ἄξεις ἰών;* B. *ὅ τι*] *ἄξεις. β. λὼ ὅ τι* B*Δ*. Scholiasta, *κεῖσ' ἄξεις ἰών*] *γράφεται καὶ λὼ ἀντὶ τοῦ ἐγὼ, καὶ δύο συγγραι ἐν τῷ ἄξεις, εἶτα τὸ λώ.*

V. 866. *ἔστ'*] *ἐντ' Δ.* *Ἀθάναις*] *Ἀθάνας* lemma scholii. *Ἀθάνασ'* Elmsleius. *Βοιωτοῖσιν*] *βοιωτοῖσι Γ* et editiones ante Kusterum.

V. 869. *μή 'στι* ABCR*ΓΔ* et Vaticanus Kusteri. *μὴ*, omisso *ἐστι*, Ald. *αὖ*] *οὖν Δ.*

V. 870. *ἐγᾦδα τοίνυν· συκοφάντην* Elmsleius. Distinguebatur *ἐγᾦδα. τοίνυν συκοφάντην* —. Conf. Vespar. v. 1181. 1205. ed Br.

V. 871. *νὴ*] *νεὶ* A. *νεὶ* Brunckius, qui eandem formam reposuit v. 833.

V. 873. *ἁλιτρίας*] Suidas in *ἁλιτρία* et grammaticus Bekkeri Anecd. I. p. 377, 16. *πολλᾶς*] *πολλὰς* Ald. Tacite correxerunt Berglerus et Brunckius.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.

ΒΟΙΩΤΟΣ.

μικκός γα μᾶκος οὗτος.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' ἅπαν κακόν.

ΝΙΚΑΡΧΟΣ.

ταυτὶ τίνος τὰ φορτί' ἐστί;

ΒΟΙΩΤΟΣ.

τῶδ' ἐμὰ

Θείβαθεν, ἴττω Ζεύς.

ΝΙΚΑΡΧΟΣ.

ἐγὼ τοίνυν ὁδὶ

φαίνω πολέμια ταυταγί.

ΒΟΙΩΤΟΣ.

τί δαὶ παθὼν

ὀρναπτίοισι πόλεμον ἦρα καὶ μάχαν;

ΝΙΚΑΡΧΟΣ.

καὶ σέ γε φανῶ πρὸς τοῖσδε.

ΒΟΙΩΤΟΣ.

τί ἀδικειμένος;

ΝΙΚΑΡΧΟΣ.

ἐγὼ φράσω σοι τῶν περιεστώτων χάριν.
ἐκ τῶν πολεμίων γ' εἰσάγεις Θρυαλλίδα.

V. 874. 875. Suidas in μικρός.

V. 874. ὁδὶ] ὅδε Suidas in editione Mediolanensi: ὁδὶ in codice Oxoniensi.

V. 875. μικρός γε μῆκος — ἀλλὰ πᾶν Suidas.

V. 876. ἐστί] ἐστὶν Δ. τῶδ'] τῷδ' C.

V. 877. Θείβαθεν] Θήβαθεν BC. Ζεὺς] θεὸς lemma scholii. τοίνυν ὁδὶ ABCRΓΔ. τοίνυν γ' ὁδὶ Ald.

V. 878. ταυταγί. τί δαὶ Elmsleius. Libri ταῦτα. τί δαὶ κακὸν.

V. 879. ἦρα A. ἦρω Ald. ἔρω Kuster.

V. 880. καὶ σὲ φανῶ R. ἀδικειμένος] ἀδικουμένος Δ.

V. 882. 884. 886 — 888. Suidas in Θρυαλλίς.

V. 882. γ' add. ABRΓΔ. om. Ald. et Suidas. Θρυαλλίδα Suidas. Libri Θρυαλλίδας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἔπειτα φαίνεις δῆτα καὶ Θρυαλλίδα;

ΝΙΚΑΡΧΟΣ.

αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

νεώριον Θρυαλλίς;

ΝΙΚΑΡΧΟΣ.

οἶμαι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τίνι τρόπῳ;

ΝΙΚΑΡΧΟΣ.

ἐνθεὶς ἂν εἰς τίφην ἀνὴρ Βοιώτιος
ἅψας ἂν εἰσπέμψειεν εἰς τὸ νεώριον
δι' ὑδρορρόας, βορέαν ἐπιτηρήσας μέγαν.
κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
σελαγοῖντ' ἂν εὐθύς.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ κάκιστ' ἀπολούμενε,
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ Θρυαλλίδος;

ΝΙΚΑΡΧΟΣ.

μαρτύρομαι.

V. 883. Hunc versum omisit R. δῆτα καὶ Θρυαλλίδα Elmsleius. Legebatur δῆτα διὰ (διὰ om. AC) Θρυαλλίδας (Θρυαλλίδος Bentheius).

V. 884. 886. 887. Suidas in νεώρια.

V. 884. ἐμπρήσειε τὸν νεώριον Suidas in Θρυαλλίς: ἐμπρήσειεν ἂν τὸ νεώριον in νεώρια.

V. 885. Δι. νεώριον Θρυαλλίς; οἶμοι, τίνι τρόπῳ; Elmsleius.

V. 886. εἰς] Scribebatur ἐς. τίφην] σίφην Suidas in Θρυαλλίς: τίφην in νεώρια.

V. 887. εἰσπέμψειεν Suidas in Θρυαλλίς. Libri ἐσπέμψειεν. εἰς Δ et Suidas in Θρυαλλίς. Scribebatur ἐς.

V. 888. ὑδρορρόας] ὑδρορόας BΓ.

V. 890. εὐθύς Piersonus ad Moerin p. 266. Libri αἱ νηῦς (αἱ νῆς Γ). Scholia, κεἴπερ λάβοιτο: ἐὰν ἅψηται, φησί, μόνον, εὐθὺς καίονται. σελαγοῖντ' ἄν: αἱ ναῦς δηλονότι. ταῦτα δὲ λέγει ἐκπλησσόμενος ὁ Δικαιόπολις τὸν συκοφάντην.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ξυλλάμβαν' αὐτοῦ τὸ στόμα·
δός μοι φορυτὸν, ἵν' αὐτὸν ἐνδήσας φέρω.
[ὥσπερ κάραμον, ἵνα μὴ κατα γῇ φορούμενος.]

ΧΟΡΟΣ.

ἔνδησον ὦ βέλτιστε τῷ
ξένῳ καλῶς τὴν ἐμπολήν
οὕτως ὅπως
ἂν μὴ φέρων κατάξῃ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμοὶ μελήσει ταῦτ', ἐπεί
τοι καὶ ψοφεῖ λάλον τι καὶ
πυρρορραγὲς
κἄλλως θεοῖσιν ἐχθρόν.

ΧΟΡΟΣ.

τί χρήσεταί ποτ' αὐτῷ;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

πάγχρηστον ἄγγος ἔσται,

V. 893. 894. Suidas in φορυτός.

V. 893. In B huic versui praefixa fuit persona Boeotii, quam duplici litura induxit librarius: quam enim versui 895 praefixerat personae notam δικ. mutavit in χορ. prioris scripturae vestigiis etiamnum exstantibus. φέρω] φερω B.

Versum 894. ex v. 871. et 897. compositum delendum esse vidit Bothius. φορούμενος libri et Suidas. φερόμενος Brunckius.

V. 895 — 908. = 909 — 922.

V. 895. ὦ βέλτιστε] ὦ λῷστε lemma scholii: unde Elmsleius coniecit ἔνδησον οὖν ὦ λῷστε.

V. 896 — 898. Moeris p. 155.

V. 896. τὴν ἐμπολήν· οὕτω δ' ὅπως Elmsleius.

V. 898. Moeridis codices duo ὅπως μὴ καὶ φέρων κατάξει· alii τὴν ἐμπολὴν ὅπως μὲν φέρων κ.

V. 900. τι] τὲ Δ.

V. 901. πυρρορραγὲς] περιρραγὲς BΔ, hoc est πυριρραγὲς, quod Pollucis codices praebent VII, 164. πυρρραγὲς Suidas in h. v. et in φόφου πλέων.

V. 904. πάγχρηστον] πύγχρυσον Γ. παγχρύσειον Δ.

κρατῆρ καπῶν, τριπτὴρ δικῶν,
φαίνειν ὑπευθύνους λυχνοῦ-
χος, καὶ κύλιξ
τὰ πράγματ' ἐγκυκᾶσθαι.

ΧΟΡΟΣ.

πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος
κατ' οἰκίαν
τοσόνδ', ἀεὶ ψοφοῦντι;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἰσχυρόν ἐστιν ὠγάθ', ὥστ',
οὐκ ἂν καταχείη ποτ', εἰ-
περ ἐκ ποδῶν
κάτω κάρα κρέμαιτο.

ΧΟΡΟΣ.

ἤδη καλῶς ἔχει σοι.

ΒΟΙΩΤΟΣ.

μέλλω γέ τοι θερίζδειν.

ΧΟΡΟΣ.

ἀλλ' ὦ ξένων βέλτιστε καὶ
τοῦτον λαβὼν πρόσβαλλ' ὅπῃ
βούλει φέρων
πρὸς πάντα συκοφάντην.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολούμενον.

V. 906. ὑπευθύνους] ὑπευθύνοις Pollux X, 116. λυχνοῦχος] λαχνοῦχος Γ.

V. 909. πεποιθοίη] πεποιθείη Aldina in textu, πεποιθοίη in lemmate scholii. Et sic Kusteri editio, consentientibus codicibus.

V. 913. ἰσχυρόν ἐστιν] ἰσχυρὸν δ' ἐστ' Γ. ἰσχυρὸν ἔστ' RΔ.

V. 916. κάτω κάρα] Scribebatur κατωκάρα. κρέμαιτο RΓ et Suidas in κατωκάρα. Legebatur κρέμαιτό γε.

V. 917. σοι] γέ σοι Δ.

V. 918. γέ τοι] δέ τοι Δ. θερίδδειν] θερίσδειν Δ. θερίδδειν Brunckius.

V. 919. βέλτιστε καὶ Elmsleius. Libri βέλτιστε συνθήρας καί.

V. 920. πρόσβαλλ' RΓ. πρόσβαλ' Δ. πρόβαλλ' Ald.

ἄϊρου λαβὼν τὸν κέραμον ὦ Βοιώτιε,

ΒΟΙΩΤΟΣ.

ὑπόκυπτε τὰν τύλαν ἰὼν Ἰσμηνίχε.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

χὤπως κατοίσεις αὐτὸν ἐνλαβούμενος.
πάντως μὲν οἴσεις οὐδὲν ὑγιές, ἀλλ' ὅμως
κἂν τοῦτο κερδάνῃς ἄγων τὸ φορτίον,
εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.

ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ.

Δικαιόπολι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί ἔστι; τί με βωστρεῖς;

ΘΕΡΑΠΩΝ.

ὅ τι;
ἐκέλευε Λάμαχός σε ταύτης τῆς δραχμῆς
εἰς τοὺς Χόας αὐτῷ μεταδοῦναι τῶν κιχλῶν.
τριῶν δραχμῶν δ' ἐκέλευε Κωπᾷδ' ἔγχελυν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὁ ποῖος οὗτος Λάμαχος τὴν ἔγχελυν;

ΘΕΡΑΠΩΝ.

ὁ δεινός, ὁ ταλαύρινος, ὃς γε Γοργόνα

V. 925. ὑπόκυπτε] ἴφι δὴ ὑπόκυπτε BΔ. ἰὼν R. Legebatur ἰὼ, quod om. BΔ. Ἰσμήνιχε] Vide ad v. 827.

V. 926—929. Dicaeopolidi tribuit Elmsleius. Continuabantur Boeotio. Versus 925. 926. Boeotio, proximos tres Dicaeopolidi tribuit B.

V. 928. ἄγων] ἄγων Δ. Totum versum om. Γ.

V. 930—936. Famuli verba Ἀγγέλῳ tribuunt editiones Brunckiana priores.

V. 930. τί ἔστι;] Elmsleius. Libri τίς ἐστι.

V. 931. ἐκέλευε] Elmsleius comparatis v. 1019. 1041. Legebatur ἐκέλευσε.

V. 932. Χόας] Χοᾶς Buttmannus gr. Gr. vol. I. p. 241.

V. 933. Κωπᾷδ'] Elmsleius Scribebatur Κωπαΐδ'.

V. 934. ὁ ποῖος] lemma scholii. Libri ὁποῖος.

V. 935. ὃς γε] Elmsleius. Legebatur ὃς τὴν. ὃς γε τὴν R. Γοργόνα sine articulo dixit v. 549. 1143.

πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οὐκ ἂν μὰ Δί', εἰ δοίη γέ μοι τὴν ἀσπίδα·
ἀλλ' ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω·
ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον
εἴσειμ' ὑπαὶ πτερύγων κιχλᾶν καὶ κοψίχων.

ΧΟΡΟΣ.

εἶδες ὦ εἶδες ὦ πᾶσα πόλι τὸν φρόνιμον ἄνδρα,
τὸν ὑπέρσοφον,
οἷ' ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν,
ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει
χλιαρὰ κατεσθίειν.
αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε πορίζεται·
οὐδέποτ' ἐγὼ πόλεμον οἴκαδ' ὑποδέξομαι·
οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται.

V. 936. τρεῖς κατασκίους λόφους] τρισὶ κατασκίοις λόφοις ΓΔ, qui adversum habent Aeschylum Sept. c. Theb. v. 384. ab Berglero comparatum

τοιαῦτ' ἀϋτῶν τρεῖς κατασκίους λόφους
σείει.

V. 939. Suidas in ἀπολιγαίνει. ἢν] ἂν lemma scholii.

V. 941. εἴσειμ] εἴσι μ' Γ. ὑπαὶ πτερύγων] Scholiasta, εἴσειμ' ὑπαὶ πτερύγων: ἀντὶ τοῦ μετὰ πτερύγων καὶ κιχλῶν καὶ κοψίχων. ὁ δὲ τρόπος ποιητικός. μιμεῖται δὲ τὸ μέλος.

V. 942 — 954. = 955 — 967.

V. 942 — 944. Suidas in ἀνθηρά.

V. 942. εἶδες ὦ semel Suidas.

V. 943. οἷ' ἔχει add. BRΔ. om. editiones ante Brunckium. οἷον ἔχει Suidas. Ceterum R inverso ordine praebet σπεισάμενος οἷ' ἔχει, librario ut videtur verba οἷ' ἔχει margini adscripta in locum alienum inferente. [σπεισάμενος libri scripti omnes et Suidas, σπεισάμενον editiones ante Brunckium.

V. 946 — 948. οὐδέποτ' ἐγὼ τοῦτον ὑποδέξομαι, οὐδὲ παρ' ἐμοὶ ποτὲ τὸν Ἁρμόδιον ᾄσεται, παροίνιος ἀνὴρ ἔφη Suidas in οὐδέποτ' ἐγώ. οὐδέποτ' ἐγὼ τοῦτον εἰσδέξομαι, οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται, ὅτι πάροινος (sed paullo post παροίνιος) ἔφη Suidas in πάροινος.

ξυγκατακλινείς; ὅτι παροίνους ἀνὴρ ἔφυ,
ὅστις ἐπὶ πάντ' ἀφάθ' ἔχοντας ἐπικωμάσας
εἰργάσατο πάντα κακὰ, κἀνέτρεπε, κἀξέχει,
κἀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένου,
πάνε, κατάκεισο, λαβὲ τήνδε φίλοτησίαν,
τὰς χάφακας ἥπτε πολὺ μᾶλλον ὅτι τῷ πυρὶ,
ἐξέχει θ' ἡμῶν βία τὸν οἶνον ἐκ τῶν ἀμπέλων.
* * * * * ταί τ' ἐπὶ τὸ δεῖπνον ἅμα καὶ μεγάλα δὴ φρονεῖ,
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τάδε τὰ πτερὰ πρὸ τῶν θυρῶν.
ὦ Κύπριδι τῇ παλῇ καὶ Χάρισι ταῖς φίλαις ξύντροφε Διαλλαγὴ,
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἆρ' ἐλάνθανες
πῶς ἂν ἐμὲ καὶ σὲ τις Ἔρως ξυναγάγοι λαβών,
ὥσπερ ὁ γεγραμμένος, ἔχων στέφανον ἀνθέμων;
ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ;

V. 948. ξυγκαταλινείς B. συγκατακλινεῖς Γ. συγκατακλινεῖς Ald.

V. 950. κἀνέτρεπε Elmsleius. Libri κἀνέτρεπε.

V. 951. προκαλουμένου R, Ald. et scholiasta. προσκαλουμένου C. προσκαλουμένους ABΔ. προσκαλουμένα Γ.

V. 953. πολὺ] πολλοῦ Γ. Ita Hermannus Elem. doctr. metr. p. 509. Legebatur ἐν.

V. 954. ἡμῶν] ὑμῶν Γ et lemma scholii.

V. 955. Iadiecavi lacunam. ταί τ' R. τᾆδ' A. τἆδ' BC. τᾆδ' Ald. Kuster. τὰ δ' lemma scholii. τὸ δεῖπνον] τόδειπνον Δ. ἅμα] θ' ἅμα R. om. Δ. δὴ ABRΓΔ. γε editiones ante Brunckium. Particulam om. C.

V. 956. τοῦ βίου δ' ἐξέβαλε δεῖγμα πρὸ τῶν θυρῶν πτερὰ Suidas in δεῖγμα. τάδε ex Brunckii coniectura addidimus.

V. 957 — 967. Dicaeopolidi tribuebantur, cuius personae notam delevit Elmsleius.

V. 957. καὶ Χάρισι ταῖς] καὶ ταῖς χάρισι ταῖς ΓΔ. Hunc versum attulit Suidas in διαλλαγή.

V. 959. 960. Suidas in ἀνθέμιον.

V. 959. ἐμὲ καὶ] ἐμέ τε καὶ RΓΔ, non Suidas. ξυναγάγοι] ξυναγάγῃ ΓΔ et Suidas.

V. 961. ἢ — νύ;] ἦ — σύ. Kusterus.

ἀλλά σε λαβὼν τρία δοκῶ γ' ἂν ἔτι πρόσβαλεῖν·
πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχαν ἐλάσω μακρόν,
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων,
καὶ τὸ τρίτον ἡμερίδος ὄσχον, ὁ γέρων ἀεί,
καὶ περὶ τὸ χωρίον ἐλᾷδας ἅπαξ ἐν κύκλῳ,
ὥστ' ἀλείφεσθαι σ' ἀπ' αὐτῶν καμὲ ταῖς σουμηνίαις.

ΚΗΡΥΞ.

ἀκούετε λεῳ· κατὰ τὰ πάτρια τοὺς χόας
πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ
πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ παῖδες, ὦ γυναῖκες οὐκ ἠκούσατε;
τί δρᾶτε, τοῦ κήρυκος οὐκ ἀκούετε;
ἀναβράττεσθ', ἐξοπτᾶτε, τρίπτε', ἀφέλκετε.

V. 963. πρῶνα] πρῶτον Δ. ἐλάσαι] ἐλῶσω Δ. Aelianus epistol. IV. ab Berglero comparatus, ἐγὼ γὰρ ἀμπελίδος ὄρχον ἐλάσας, εἶτα μοσχίδια συκιδίων παραφυτεύσας ἔπαλτα καὶ ἐν κύκλῳ περὶ τὸ αὐλίον κατέπηξα ἐλαίας.

V. 964. συκίδων] συκίδας ex Aristophanis Lemniis memorat Pollux VII, 152.

V. 965. τὸ om. Δ. ὄσχον Brunckius. κλάδον ABCRΓΔ et Ravenna scholl. ὄρχον editiones ante Brunckium.

V. 966. ἐλᾷδας ἅπαν ἐν Hermannus. ἐλαίδας ἅπαν ἐν Γ. ἐλαίδος ἅπαν ἐν Δ. Legebatur ἅπαν ἐλαΐδας ἐν. Suidas, ἐλαΐδας· ἐλαίας ἀγρίας.

V. 967. ἀλείψασθ' ἀπ' αὐτῆς ταῖς νουμηνίαις Suidas in ἀλείψας. ἀλείφεσθαι σ'] Scribebatur ἀλείφεσθαί σ'.

V. 968 — 970. inde ab verbis κατὰ τὰ πάτρια attulit Suidas in ἀσκὸς Κτησιφῶντος: versum 968. Ammonius in χόας p. 148.

V. 968. λεῳ ABCRΓΔ et editiones ante Kusterum, qui λεὼς edidit ex Ammonio. τοὺς χόας ABΓΔ et Suidae codex Oxoniensis et alius apud Henr. Stephanum in Thesauro p. 10552: τοὺς χοᾶς Brunckius in annotatione. τὰς χοᾶς editiones ante Brunckium et Suidae editio Mediolanensis, postulantibus ipsis Suidae verbis. τῆς χόας Ammonius.

V. 969. πίνειν praeter exspectationem intulit pro ἄγειν.

τὰ λοιπῶν, ταχέως τοὺς στεφάνους ἀνείρετε.
φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.

ΧΟΡΟΣ.

ζηλῶ σε τῆς εὐβουλίας,
μᾶλλον δὲ τῆς εὐωχίας,
ἄνθρωπε, σῆς παρούσης.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί δῆτ', ἐπειδὰν τὰς κίχλας
ὀπτωμένας ἴδητε;

ΧΟΡΟΣ.

οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τὸ πῦρ ὑποσκάλευε.

ΧΟΡΟΣ.

ἤκουσας ὡς μαγειρικῶς
κομψῶς τε καὶ δειπνητικῶς
αὐτῷ διακονεῖται;

ΓΕΩΡΓΟΣ.

οἶμοι τάλας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ Ἡράκλεις, τίς οὗτος;

V. 974. ταχέως ad praecedentia ἀφέλκετε τὰ λοιπῶν retulit Elmsleius.

V. 975. Suidas, ἀνάπειρατε: ἀναπείρατε τὰς κίχλας, τουτέστι πήξατε, κεντήσατε. Ἀριστοφάνης, φέρετε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας. ἵν' ἀγαπείρω] ἵνα πήξω Pollux X, 95. ex quo Bentleius in epistola ad Hemsterhusium p. 303. fecit ἵν' ἀναπήξω, cui Elmsleius comparavit λαγῷ' ἀναπηγνύασι Ecclesiazus. v. 843.

V. 976 — 985. = 1005 — 1014.

V. 976 — 978. Suidas in ζηλῶ.

V. 980. ὀπτωμένας] ὀπτημένας Δ. ἴδητε ABC. ἴδητ' editiones ante Brunckium.

V. 982. ὑποσκάλευε] ὑποσκάλαυε Γ.

V. 985. αὐτῷ ACRΓ. αὐτῷ γε editiones ante Brunckium. In B γε superno adscriptum ab alia manu.

V. 986. ὦ om. Δ.

ΓΕΩΡΓΟΣ.

ἀνὴρ κακοδαίμων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κατὰ σεαυτόν νυν τρόπον.

ΓΕΩΡΓΟΣ.

ὦ φίλτατε, σπονδαὶ γὰρ εἰσί σοι μόνῳ,
μέτρησον εἰρήνης τί μοι, πᾶν πέντ' ἔτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί δ' ἔπαθες;

ΓΕΩΡΓΟΣ.

ἐπετρίβην ἀπολέσας τὼ βόε.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

πόθεν;

ΓΕΩΡΓΟΣ.

ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοί.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ τρισκακοδαίμων, εἶτα λευκὸν ἀμπέχει;

ΓΕΩΡΓΟΣ.

καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶσι βολίτοις.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

εἶτα νυνὶ τοῦ δέει;

V. 987. Idem versus Nubium v. 1263. σεαυτόν νυν] σεαυτὸν νῦν editiones ante Brunckium.

V. 989. κἄν] κἀς Scaliger. κἀς Elmsleius.

V. 990. τί δ' ἔπαθες; Γε. ἐπετρίβην codex Vaticanus, Kusteri et Brunckii editiones, consentientibus haud dubie ABCRΓΔ. τί δ' ἔπαθες; Γε. ἐπετρίβεν Ald.

V. 991. πόθεν ABCRΓΔ et Stephanus Byzant. in Φυλή. πόθεν γ' editiones ante Brunckium. πόθεν δ' Elmsleius ad Sophoclis Oedip. Col. 13. p. 356.

V. 992. τρισκακοδαίμων] κακόδαιμον Suidas in ἀμπεχόμενος. ἀμπέχει] ἀμπέχῃ Δ, lemma scholii, Suidas.

V. 993. ὥπερ BCΔ. ὥσπερ Ald. ὅπερ (sic) R. ἐτρεφέτην] ἐτραφέτην A. ἐτρεφέτην ἐν πᾶσι βολίτοις attulit Suidas in βόλιτος.

V. 994. δέει] δέῃ Γ. δέῃ Δ.

ΓΕΩΡΓΟΣ.

ἀπόλωλα τὠφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλασίου,
ὑπάλειψον εἰρήνῃ με τὠφθαλμὼ ταχύ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' ὦ πόνηρ' οὐ δημοσιεύων τυγχάνω.

ΓΕΩΡΓΟΣ.

ἴθ' ἀντιβολῶ σ', ἤν πως κομίσωμαι τὼ βόε.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οὐκ ἔστιν, ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.

ΓΕΩΡΓΟΣ.

σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οὐδ' ἂν στριβιλικίγξ, ἀλλ' ἀπιὼν οἴμωζέ που.

ΓΕΩΡΓΟΣ.

οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν.

ΧΟΡΟΣ.

ἀνὴρ ἀνεύρηκέν τι ταῖς

V. 996. κήδει] κήδη Δ.

V. 998. Suidas in δημοσιεύω.

V. 1000 — 1002. Suidas in Σπίτταλος.

V. 1000. κλᾶε ΓΔ. Scribebatur κλαῖε. Suidas ἄπελθε posuit, omissis praecedentibus verbis οὐκ ἔστιν, ἀλλὰ. τοὺς Πιττάλου] τοῦ πιττάλου Γ. τοῦ σπιττάλου Suidas in editione Medielanensi: τοὺς σπιττάλους codex Oxoniensis.

V. 1001, 1002. Pollux X, 168.

V. 1001. σταλαγμὸν] στεναγμὸν Suidae codex Oxoniensis. ἕνα εἰς τὸν καλαμίσκον om. Suidas.

V. 1002. ἐνστάλαξον] ἔνσταξον Suidas. τουτονί] τοὐτουνί Δ. σταγονὶ Suidae codex Oxoniensis.

V. 1003. στριβιλικίγξ] στροβιλικίγξ Δ. που RΔ. Legebatur ποι.

V. 1004. βοιδίοιν Elmsleius. Scribebatur βοϊδίοιν.

V. 1005. ἀνὴρ] Libri ἀνήρ. ἀνεύρηκεν Brunckius. ἀνεύρηκε editiones ante Brunckium. ἐνεύρηκεν Dobraeus in Addendis ad Aristophan. p. (105).

σπονδαῖσιν ἡδύ, κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδόσιμον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κατάχει σὺ τῆς χορδῆς τὸ μέλι-
τὰς σηπίας στάθευε.

ΧΟΡΟΣ.

ἤκουσας ὡρθιασμάτων;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὀπτᾶτε ταγγέλεια.

ΧΟΡΟΣ.

ἀποκτενεῖς λιμῷ με καὶ
τοὺς γείτονας κνίσῃ τε καὶ
φωνῇ τοιαῦτα λάσκων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.

ΠΑΡΑΝΥΜΦΟΣ.

Δικαιόπολι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τίς οὗτος, τίς οὗτος;

ΠΑΡΑΝΥΜΦΟΣ.

ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
ἐκ τῶν γάμων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καλῶς γε ποιῶν, ὅστις ἦν.

ΠΑΡΑΝΥΜΦΟΣ.

ἐκέλευε δ' ἐγχέαι σε, τῶν κρεῶν χάριν,
ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βιοίη μένων.

V. 1007. οὐδενὶ] οὐδ' ἑνὶ Porsonus in praefatione ad Hecubam p. XXXIV.

V. 1008. κατάχει ABCRΓΔ, Add. κατάχεις Kusteri editio.

V. 1013. κνίσῃ Γ. Scribebatur κνίσοῃ.

V. 1017. ταυτὶ κρέα] ταυτὶ τὰ κρέα ABΓΔ.

V. 1018. γε add. ABRΓΔ. om. C. et editiones ante Brunckium.
ὅστις ἦν ABCRΓΔ. ὅστις περ ἦν editiones ante Brunckium.

V. 1020. στρατεύοιτ'] στρατεύητ' Γ.

εἰς τόνδ' ἀλάβαστον κύαθον εἰρήνης ἔνα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀπόφερ' ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
ὡς οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
ἀλλ' αὑτηὶ τίς ἐστιν;

ΠΑΡΑΝΥΜΦΟΣ.

ἡ νυμφεύτρια
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

φέρε δὴ, τί σὺ λέγεις; ὡς γελοῖον, ὦ θεοὶ,
τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδὰς, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή ἐστι τοῦ πολέμου τ' οὐκ ἀξία.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον ὦ γύναι.
οἶσθ' ὡς ποιεῖται τοῦτο, τῇ νύμφῃ φράσον,
ὅταν στρατιώτας καταλέγωσι, τοῦτοι
νύκτωρ ἀλεφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς, φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν εἰς τοὺς χόας.

ΧΟΡΟΣ.

καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς
ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.

V. 1021. Suidas in ἀλαβαστοθήκας. εἰς] Libri et Suidas ἐς. ἀλάβαστον ACR et Suidas. ἀλάβαστρον editiones ante Brunckium. κύαθον] κύσθον codex Vaticanus.

V. 1023. χιλίων] μυρίων R.

V. 1026. 1027. Suidas in δέημα.

V. 1028. Scholiasta ad Equitum v. 1007.

V. 1030. τ'] δ' R.

V. 1031. ἐξάλειπτρον ex hoc loco memorant Pollux X, 121. et Antiatticista Bekkeri I. p. 97, 17.

V. 1032. ποιεῖται] ποεῦται Γ. ποιεῖτε Δ. ποιείσθω Elmsleius.

V. 1034. τὸ om. R.

V. 1036. εἰς Δ. Scribebatur ἐς. χόας] χοᾶς Brunckius in annotatione.

V. 1037. ὁδί τις] ὁδί γε Δ.

ΚΗΡΥΞ.

ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.

ΛΑΜΑΧΟΣ.

τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;

ΚΗΡΥΞ.

ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους·
κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς.
ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.

ΛΑΜΑΧΟΣ.

ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.
οὐ δεινὰ μὴ ξεῖναί με μηδ' ἑορτάσαι;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἰὼ στράτευμα πολεμολαμαχαικόν.

ΛΑΜΑΧΟΣ.

οἴμοι κακοδαίμων, καταγελᾷς ἤδη σύ μου.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;

ΛΑΜΑΧΟΣ.

αἰαῖ,

V. 1039. 1041 — 1045. Κήρυκι tribuit Elmsleius. Libri ἀγγέλῳ tribuunt. Vide v. 1051.

V. 1040. ἀμφὶ χαλκοφάλαρα Suidas in τίς ἀμφί. Libri ἀμφιχαλκοφάλαρα.

V. 1042. τοὺς λόχους καὶ τοὺς λόφους] Conf. v. 550.

V. 1046. πλείονες] πλέονες Elmsleius, qui hunc versum ex Telepho Euripidis sumptum esse suspicatur.

V. 1047. Hunc versum Lamacho continuavit Elmsleius. Tribuebatur Dicaeopolidi consentiente scholiasta. Vide v. 931.

V. 1048. πολεμομαχαιϊκὸν Δ.

V. 1050. μάχεσθαι] διαμάχεσθαι Suidas in βούλει et Γηρυόνης. Γηρυόνῃ] Γηρυόνι Suidas in βούλει.

V. 1051. 1052. inverso ordine exhibent ΓΔ.

V. 1051. 1052. αἰαῖ] Scribebatur αἴ αἴ. αἶ αἶ Δ et lemmata scholiorum.

οἵαν ὁ κήρυξ ἀγγελίαν ἤγγειλέ μοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

αἰαῖ, τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν;

ΑΓΓΕΛΟΣ Β.

Δικαιόπολι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί ἐστιν;

ΑΓΓΕΛΟΣ Β.

ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χοᾶ.
ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι.
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα,
κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα,
στέφανοι, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἴτρια,
ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε.

ΑΑΜΑΧΟΣ.

κακοδαίμων ἐγώ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα,
σύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.

V. 1052. προστρέχει τις] προστρέχεις R.

V. 1054. κίστην ABCRΓΔ. κίστιν editiones ante Brunckium, lemma scholii, scholiasta ad v. 960. et Suidas in χοᾶ.

V. 1056. δειπνεῖν] δειπνεῖν γὰρ Δ.

V. 1057 — 1062. Plura ex his non satis accurate excerpsit Suidas in ἱερία.

V. 1057. ἐστὶν] ἐστὶ ΓΔ et Suidas.

V. 1059. στέφανοι] στέφος Suidas.

V. 1060. πλακοῦντες, σησάμοῦντες, ἴτρια attulit Athenaeus XIV. p. 646 d. ἴτρια etiam apud Suidam scriptum in ἱερία.

V. 1062. τάχιστα] τάχος Suidas.

V. 1063. Suidas in ἐπεγράφου.

ΛΑΜΑΧΟΣ.

παῖ παῖ φέρ' ἔξω δεῦρο τὸν γύλιν ἐμοί.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

παῖ παῖ φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.

ΛΑΜΑΧΟΣ.

ἄλας θυμίτας οἷσε παῖ καὶ κρόμμυα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμοὶ δὲ τεμάχη κρομμύοις γὰρ ἄχθομαι.

ΛΑΜΑΧΟΣ.

θρῖον ταρίχους οἷσε δεῦρο παῖ σαπροῦ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καμοὶ σὺ δή παῖ θρῖον· ὀπτήσω δ' ἐκεῖ.

ΛΑΜΑΧΟΣ.

ἔνεγκε δεῦρο τῷ πτερῷ σὺ 'κ τοῦ κράνους.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμοὶ δὲ πᾶς φάττας γε φέρε καὶ τὰς κίχλας.

ΛΑΜΑΧΟΣ.

καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καλόν γε καὶ ξανθὸν γε τῆς φάττης κρέας.

V. 1065. om. A.

V. 1066. κίστην] κύστην Γ.

V. 1067. θυμίτας] θυμοίτας ΓΔ. θυμητίδας Suidas in περίδου. θυμίτας scholiasta ad v. 772. et Suidas in ἄλας. Conf. ad v. 738. οἷσε παῖ] δοὺς ἐμοὶ scholiasta ad v. 772. et Suidas in περίδου.

V. 1068. κρομμύοις γὰρ ἄχθομαι] Suidas in ἄχθομαι.

V. 1069. οἷσε δεῦρο παῖ σαπροῦ ABRΓΔ et Suidas in θρῖον οἷσε παῖ σαπροῦ δεῦρο C. οἷσε σαπροῦ δεῦρό μοι editiones ante Brunckium.

V. 1070. κἀμοὶ σὺ δὴ ABRΓΔ. κἀμοὶ δὴ σὺ C. κἀμοὶ δὲ δὴ σὺ editiones ante Brunckium. Eandem θρῖον ... δὴ παῖ] δημοῦ Elmsleius, comparato Equit. v. 954. (960. ed. nostra) δημοῦ βοείου θρῖον ἐκπεπαμένην.

V. 1074. om. A. ξανθὸν] ξανθιὸν Γ.

ΛΑΜΑΧΟΣ.

ὤνθρωπε παῦσαι καταγελῶν μου τῶν ὅπλων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὤνθρωπε βούλει μὴ βλέπειν εἰς τὰς κίχλας;

ΛΑΜΑΧΟΣ.

τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.

ΛΑΜΑΧΟΣ.

ἀλλ' ἢ τριχόβρωτες τοὺς λόφους μου κατέφαγον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.

ΛΑΜΑΧΟΣ.

ὤνθρωπε βούλει μὴ προσαγορεύειν ἐμέ;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οὔκ, ἀλλ' ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι.
βούλει περιδόσθαι κἀπιτρέψαι Λαμάχῳ
πότερον ἀκρίδες ἥδιόν ἐστιν, ἢ κίχλαι;

ΛΑΜΑΧΟΣ.

οἴμ' ὡς ὑβρίζεις.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τὰς ἀκρίδας κρίνει πολύ.

ΛΑΜΑΧΟΣ.

παῖ παῖ καθελών μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.

V. 1075. ὤνθρωπε] ἄνθρωπε Δ.

V. 1076. ὤνθρωπε] ἄνθρωπε ΓΔ.

V. 1077. Duplicem scripturam, λοφίον et λοφεῖον, memorat scholiasta.

V. 1078. Pollux VI, 86.

V. 1079. ἢ] αἱ Plutarchus Moral. p. 853 c. τριχόβρωτες] τριχίβρωτες Δ. τριχοβόστρυχες Plutarchi codices. τριχοβρῶτες apud Pollucem II, 24. et Suidam in h. v. scribitur. Utramque scripturam novit scholiasta.

V. 1080. μίμαρκυν ABCR. μίρμακυν Δ. μίμαρκιν Ald.

V. 1083. περιδόσθαι] περιδέσθαι ΓΔ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

παῖ παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.

ΛΑΜΑΧΟΣ.

φέρε, τοῦ δορατὸς ἀφελκύσωμαι τοὐλυτρον.
ἔχ', ἀντέχου παῖ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ σὺ παῖ τοῦδ' ἀντέχου.

ΛΑΜΑΧΟΣ.

τοὺς κιλλίβαντας ὅιδε παῖ τῆς ἀσπίδος.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ τῆς ἐμῆς τοὺς κριβάνιτας ἔκφερε.

ΛΑΜΑΧΟΣ.

φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.

ΛΑΜΑΧΟΣ.

ταῦτ' σὺ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;

ΛΑΜΑΧΟΣ.

κάτεχε σὺ παῖ τοὐλλαιον ἐκ τοῦ χαλκίου.
ἐνορῶ γέροντα δειλίᾳ φευξούμενον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κατάχει σὺ τὸ μέλι. κἀνθάδ' εὔδηλος γέρων
κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.

V. 1087. om. A.

V. 1090. Pollux X, 146. κιλλίβαντας] σκιλλίβαντας R.

V. 1092. 1093. Plutarchus Moral. p. 853 c.

V. 1093. τυρόνωτον] γυρόνωτον Plutarchus.

V. 1094. Suidas in κατάγελως. πλατὺς] πολὺς R.

V. 1096. ἐκ τοῦ χαλκίου Pollux X, 92. Libri et scholiasta ἐν τῷ χαλκίῳ. ἐν τῷ χαλκίῳ Suidas in κατάχει.

V. 1097. ἐνορῶ] ὁρῶ A.

V. 1098. κἀνθάδ'] κἀνθαῦδ' Γ. γέρων κλάειν κελεύων BRΓΔ. γέρων. κλάειν κελεύω editiones ante Bruncknm.

ΛΑΜΑΧΟΣ.

φέρε δεῦρο παῖ θώρακα πολεμιστήριον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἔκαιρε παῖ θώρακα κἀμοὶ τὸν χοᾶ.

ΛΑΜΑΧΟΣ.

ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι.

ΛΑΜΑΧΟΣ.

τὰ στρώματ' ὦ παῖ δῆσον ἐκ τῆς ἀσπίδος.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τὸ δεῖπνον ὦ παῖ δῆσον ἐκ τῆς κιστίδος.

ΛΑΜΑΧΟΣ.

ἐγὼ δ' ἐμαυτῷ τὸν γύλιον ὀπίσω λαβών.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐγὼ δὲ θοἰμάτιον λαβὼν ἐξέρχομαι.

ΛΑΜΑΧΟΣ.

τὴν ἀσπίδ', αἶρου, καὶ βάδιζ' ὦ παῖ λαβών.

φέρει. βαβαιάξ· χειμέρια τὰ πράγματα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

αἶρου τὸ δεῖπνον· συμποτικὰ τὰ πράγματα.

ΧΟΡΟΣ.

ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.

V. 1100. *δεῦρο παῖ*] *παῖ δεῦρο* RΓ.

V. 1101. *χοᾶ*] *χόα* Elmsleius.

V. 1102. 1104. om. A.

V. 1102. 1103. *θωρήξομαι*] Scholiasta ad Vespar. v. 1190.

V. 1103. *θωρήξομαι*] *θωράξομαι*. Etymolog. M. p. 460, 38. Hunc versum om. Γ.

V. 1105. 1106. Hoc ordine R: inverso ordine libri vulgati. Utrumque versum om. AΓ.

V. 1105. *κιστίδος*] Libri *κίστιδος*. Correctum ex Polluce X, 136. et diserto Suidae testimonio in *κίστις*.

V. 1107. *δὲ* om. Γ.

Versum 1109. om. R. loco vacuo relicto.

Versum 1110. om. AΓ.

ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν·
τῷ μὲν πίνειν στεφανουμένῳ,
σοὶ δὲ ῥιγῶν καὶ προφυλάττειν,
τῷ δὲ καθεύδειν
μετὰ παιδίσκης ὡραιοτάτης,
ἀνατριβομένῳ τε τὸ δεῖνα.
Ἀντίμαχον τὸν Ψακάδος τὸν ξυγγραφῆ, τὸν μελέων ποιητήν,
ὡς μὲν ἁπλῷ λόγῳ κακῶς ἐξολέσειεν ὁ Ζεύς·
ὅς γ' ἐμὲ τὸν τλήμονα λήναια χορηγῶν ἀπέκλεισ' ἄδειπνον.
ὃν ἔτ' ἐπίδοιμι τευθίδος

V. 1114. ῥιγῶν καὶ BRΓΔ. ῥιγοῦν καὶ A. ῥιουγνῶν (h. e. οὖν ῥιγῶν) καὶ C. ῥιγῶντι editiones ante Bruncknium.

V. 1115. τῷ δὲ] ὧδε C.

V. 1118 — 1126. = 1127 — 1135.

V. 1117. τὸ δεῖνα] Suidas in εὐθυρρήμων.

V. 1118 — 1127. Suidas in τευθίδες.

V. 1118. Ψακάδος] ψακάδος Γ. ψεκάδος BΔ et Suidas in Ἀντίμαχος. ψεκάδα Suidas in τευθίδες et ψεκάς. Scholiasta Ψακάδα legisse videtur, qui scribat Ψακὰς δὲ οὗτος ἐκαλεῖτο, ἐπειδὴ —. Scholiasta ad Nubium v. 1018. Ἀντίμαχος ὁ ψαδακὸς (h. e. Ψακάδος) λεγόμενος. τὸν ξυγγραφῆ — ποιητὴν om. Suidas in τευθίδες. τὸν ξυγγραφῆ] Scholiastae anaotationi Ἀντίμαχον τὸν συγγραφέα praefixum. Elmsleius deletis verbis τὸν ξυγγραφῆ edidit τὸν μίλεων τῶν μελέων ποιητήν. τὸν μελέων ποιητὴν ABCΓΔ. τῶν μελέων ποιητὴν R et Vaticanus. τὸν μελέων τὸν ποιητήν Ald. τὸν μίλεων ποιητὴν coniecit Kusterus.

V. 1119. ἁπλῷ] ἁπλῶς Suidas in editione Mediolanensi: ἁπλῷ in codice Oxoniensi. ἐξολέσειεν] ὀ' ἐξολέσειεν Γ. ἀπολέσειεν Suidas. ὁ Ζεύς] ὀξέως Suidae codex Oxoniensis.

V. 1120. ἀπέκλεισ' ἄδειπνον Elmsleius. ἀπέκλεισε φειπνῶν R. ἀπέλυσεν ἔφειπνον ABCΔ. ἀπέλυσαν ἄδειπνον Δ. ἄδειπνον ἀπέλυσεν Suidas in τευθίδες. ἀπέλυσ' ἄδειπνον Ald. Scholiasta, ἀπέλυσεν ἄδειπνους· ἀπέλεισε δείπνου. ἀντὶ τοῦ ἀπεστέρησε τοὺς μισθούς, οὐδέν μοι ἐχορήγησε.

V. 1121 — 1127. Suidas in ψεκάς.

V. 1121. ὃν ἔτ' ABCRΓΔ et Suidas in τευθίδες et ψεκάς.

δεόμενον, ἡ δ' ὠπτημένη
σίζουσα πάραλος, ἐπὶ τραπέζης κειμένη,
ὀκέλλοι· κἄτα μέλ-
λοντος λαβεῖν αὐτοῦ κύων
ἁρπάσασα φεύγοι.
τοῦτο μὲν αὐτῷ κακὸν ἦν· κἄθ' ἕτερον νυκτερι-
νὸν γένοιτο.
ἡμιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων,
εἶτα κατάξειέ τις αὐτοῦ μεθύων τῆς κεφαλῆς
Ὀρέστης
μαινόμενος· ὁ δὲ λίθον λαβεῖν
βουλόμενος ἐν σκότῳ λάβοι
τῇ χειρὶ πέλεθον ἀρτίως κεχεσμένον·
ἐπάξειεν δ' ἔχων
τὸν μάρμαρον, κἄπειθ' ἁμαρ-
τὼν βάλοι Κρατῖνον.

ὅτ' Suidae codex Oxoniensis in ψεκάς. ὅν γ' ἔτ' Ald. ἐπίδοιμι] ἴδοιμι Suidas in τευθίδες.

V. 1123. τραπέζης ΓΔ et Suidas in τευθίδες et ψεκάς. Legebatur τραπέζῃ.

V. 1124. ὀκέλλοι] ὀκέλλει Suidae codex Oxoniensis utrobique. ὀκέλλα editio Mediolanensis in τευθίδες.

V. 1125. λαβεῖν αὐτοῦ] αὐτοῦ λαβεῖν ΓΔ.

V. 1126. ἁρπάσασα φεύγοι] ἁρπάσας φύγοι Suidas utroque loco.

V. 1128. Suidas in ἡμίαλος. βαδίζων] βαδίζει Suidas in editione Mediolanensi: βαδίζων in codice Oxoniensi.

V. 1129. Suidas in Ὀρέστης. αὐτοῦ] αὐτὸν Suidas: sed αὐτοῦ, ut videtur, codex Oxoniensis. μεθύων] μεθύοντος Δ. om. Suidas. τῆς κεφαλῆς] τὴν κεφαλὴν R. Scholiasta, τῆς κεφαλῆς Ὀρέστης: ἀντὶ τοῦ τὴν κεφαλὴν Ἀττικῶς.

V. 1130. λαβεῖν BRΓΔ. Legebatur βαλεῖν.

V. 1132. πέλεθον] σπέλεθον AC, scholiasta ad Ecclesiazus. v. 591. et Suidas in σπέλεθος. πέλεθον Brunckius. πελεθὸν editiones ante Brunckium. κεχεσμένον] κατεχεσμένον Γ.

V. 1133. ἐπάξειεν AB. ἐπαίξειεν ΓΔ. ἐπατξειεν Ald. ἐπαΐξειε Kusteri editio.

ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ. ΛΑΜΑΧΟΣ. ΔΙΚΑΙΟΠΟΛΙΣ. ΧΟΡΟΣ.

ΘΕΡΑΠΩΝ.

Ὦ δμῶες οἳ κατ' οἶκον ἐστὲ Λαμάχου,
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
ὀθόνια, κηρωτὴν παρασκευάζετε,
ἔρι' οἰσυπηρά, λαμπάδιον περὶ τὸ σφυρόν.
ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον,
καὶ τὸ σφυρὸν παλίνορον ἐξεκόκκισεν,
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών,

V. 1136. ἐστὲ Λαμάχου] ἐσταλάμαχου Δ.

V. 1137. χυτριδίῳ R cum Dawesio. χυτρίῳ editiones ante Brunckium.

V. 1138. κηρωτὴν] κηρωτὸν Γ. παρασκευάζετε] παρασκευάζεται Pollux IV, 183.

Versum 1139. omisit R, vacuo spatio relicto. ἔρι' lemma scholii, Pollux VII, 28. et Suidas in οἰσύπη. ἔρ' ABCΓΔ Ald. λαμπάδιον] λαμπάδια Suidas in h. v. τὸ] τὸν Π.

V. 1140. ἀνὴρ] Libri ἀνὴρ, quod hic et alibi correxit Elmsleius. ἀνὴρ τέτρωται] ἀνὴρτηται τέτρωκε Suidae codex Oxoniensis.

V. 1141. Suidas in παλίνορον. παλίνορον] παλίνορρον vel παλίνωρον Elmsleius. Hesychius, παλίνωρον (add. ἐξεκόκκισεν): εἰς τοὐπίσω ἐξέκλασεν καὶ ἐξέβαλεν· ἀπὸ τῶν ἐκκοκκιζομένων ῥοιῶν. ἐξεκόκκισεν] ἐξεκόμισεν Δ. ἐξεκόμισε Suidas in παλίνορον. ἐξεκόκκισεν Suidas in h. v. Scholiastam, qui interpretetur ἐκτραπὲν τῆς ὁρμονίας ἦχησεν, legisse ἐξεκόκκυσεν coniecit Berglerus.

καὶ Γοργόν ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
πρὸς ταῖς πέτραισι δεινὸν ἐξηύδα μέλος·
ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν,
λείπω φάος γε τοὐμὸν, οὐκέτ' εἴμ' ἐγώ.
τοσαῦτα λέξας εἰς ὑδρορρόαν πεσὼν
ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις,
λῃστὰς ἐλαύνων καὶ κατασπέρχων δορί.
ὁδὶ δὲ καὐτός· ἀλλ' ἄνοιγε τὴν θύραν.

ΛΑΜΑΧΟΣ.

ἀτταταῖ ἀτταταῖ,
στυγερὰ τάδε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' αἰακτὸν ἂν γενοιτό μοι,
Αἰκαιόπολις ἄν μ' ἴδοι τετρωμένον,
κᾆτ' ἐγχανεῖται ταῖς ἐμαῖς τύχαισιν.

V. 1143. Suidas in Γοργόνη.

V. 1144. κομπολακύθου] Conf. v. 565.

V. 1148. εἰς] ἐς Γ.

V. 1149. δραπέταις, λῃστὰς ἐλαύνων] δραπέταις λῃσταῖς, ἐλαύνων Elmsleius.

V. 1152. = 1159.

V. 1156 — 1158. = 1160 — 1162.

V. 1163. 1164. = 1171. 1172.

V. 1165. 1167. 1169. = 1166. 1168. 1170.

V. 1173. = 1174.

V. 1152. ἀτταταῖ ἀτταταῖ R. Scribebatur ἀτταπαττατά. ἀτταπαττᾶ lemma scholii. ἀτταταταταὶ Suidas in ἐκοποῖ.

V. 1153. τάδε R. Legebatur τάδε γε.

V. 1156. δ' ACRΓ. Legebatur δ' σὺν. αἰακτὸν ἂν γένοιτό μοι Porsonus. αἰακτὸν οἰμωκτὸν ἂν γένοιτό μοι ACR. αἰακτὸν οἰμωκτὸν γένοιτ' ἄν μοι BΔ. αἰακτὸν ἂν οἰμωκτὸν ἂν γένοιτο μοι Ald.

V. 1157. ἄν μ' R. ἂν εἴ μ' Γ. εἴ μ' Δ. Legebatur γὰρ εἴ μ'.

V. 1158. κᾆτ' ἐγχανεῖται ταῖς R. κᾆτ' ἐγχάνοι ταῖς Δ. κατεγ-

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀτταταῖ ἀτταταῖ,
τὰ τιτθί' ὡς σκληρὰ καὶ κυδώνια.
φιλήσατον μαλθακῶς μ' ὦ χρυσίω
τὸ περιπεταστὸν κἀπιμανδαλωτόν.
τὸν γὰρ χοᾶ πρῶτος ἐκπέπωκα.

ΛΑΜΑΧΟΣ.

ὦ συμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ ἰὼ τραυμάτων ἐποδύνων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἰὴ ἰὴ χαῖρε Λαμαχίππιον.

ΛΑΜΑΧΟΣ.

στυγερὸς ἐγώ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μοχθηρὸς ἐγώ.

ΛΑΜΑΧΟΣ.

τί μὲ σὺ κυνεῖς;

χάνοι ταῖς Γ. Legebatur κατεγχάνοι γε ταῖς. et κατεγχάνοι habuit scholiasta, qui interpretatur καταγελάσοι. Tacet de codicibus suis Brunckius, quos incredibile est cum vulgata consentire scriptura. ἐμαῖς τύχαισιν RΓΔ. Legebatur ἐμαῖσιν ἂν τύχαις.

V. 1159. ἀτταταῖ ἀτταταῖ R. Scribebatur ἀτταλαττατά.

V. 1160. τὰ τιτθί'] Libri τῶν τιτθίων (τιτθίων Γ). σκληρὰ] σκληρὸν Γ.

V. 1161. μαλθακῶς μ'] Libri με μαλθακῶς.

V. 1162. Suidas in περιπεταστόν. κἀπιμανδαλωτὸν ABCRΓΔ, κἀπιμανδαλωτὸν ἂν Ald.

V. 1163. χοᾶ πρῶτος ACRΓ. χοᾶ νῦν πρῶτος editiones ante Brunckium. In B νῦν minio subductum. ἐκπέπωκα ABCRΓΔ. ἐκπέπωκά γε editiones ante Brunckium.

V. 1164. 1165. Suidas in συμφορά: 1165. in ἰώ.

V. 1165. ἰὼ ἰὼ] ἰὼ ἰὼ ὦ Δ. ἐποδύνων] ἐποδίνων Γ.

V. 1166. χαῖρε RΓ. Legebatur ὦ χαῖρε. Λαμαχίππιον] λαμαχιππίδιον R.

V. 1169. κυνεῖς] κυνεῖς ABΓ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί με σὺ δάκνεις;

ΛΑΜΑΧΟΣ.

τάλας ἐγὼ ξυμβολῆς βαρείας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο;

ΛΑΜΑΧΟΣ.

ἰὼ ἰὼ Παιὰν Παιάν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' οὐχὶ νῦν Παιώνια.

ΛΑΜΑΧΟΣ.

λάβεσθέ μου, λάβεσθε τοῦ σκέλους· παπαῖ,
προσλάβεσθ' ὦ φίλοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφοιν μέσου,
προσλάβεσθ' ὦ φίλαι.

ΛΑΜΑΧΟΣ.

ἱλιγγιῶ κάρα λίθῳ πεπληγμένος,
καὶ σκοτοδινιῶ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κἀγὼ καθεύδειν βούλομαι, καὶ στύομαι,

V. 1171. ἐγὼ] Libri ἐγὼ τῆς ἐν μάχῃ. ἐν μάχῃ delevit Bothius. ξυμβολῆς ACRΓ. νῦν ξυμβολῆς editiones ante Brunckium.

V. 1173. ἰὼ semel ΓΔ. Παιὰν Παιάν] Παιὼν Παιών Elmsleius.

V. 1174. νῦν Παιώνια] Legebatur νυνὶ τήμερον Παιώνια. νῦν γε σήμερον παιώνια R.

V. 1175. παπαῖ] Scribebatur παπαί.

V. 1176. προσλάβεσθ' ABRΓΔ. προσλάβεσθέ μ' editiones ante Brunckium. φίλοι] φίλαι R.

V. 1178. προσλάβεσθ' ABCRΓ. προσλάβεσθέ μ' editiones ante Brunckium.

V. 1181. 1182. om. A.

καὶ σκοτοβινιῶ.

ΔΑΜΑΧΟΣ.

θύραζά μ' ἐξενέγκατ' εἰς τοῦ Πιττάλου παιωνίαισι χερσίν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὡς τοὺς κριτάς μ' ἐκφέρετε· ποῦ 'στιν ὁ βασιλεύς;
ἀπόδοτέ μοι τὸν ἀσκόν.

ΔΑΜΑΧΟΣ.

λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὁρᾶτε τουτονὶ κενόν. τήνελλα καλλίνικος.

ΧΟΡΟΣ.

τήνελλα δῆτ', εἴπερ καλεῖς, ὦ πρέσβυ, καλλίνικος.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.

ΧΟΡΟΣ.

τήνελλά νυν ὦ γεννάδα· χώρει λαβὼν τὸν ἀσκόν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἕπεσθέ νυν ᾄδοντες ὦ τήνελλα καλλίνικος.

V. 1182. σκοτοβινιῶ CRΓ. σκοτοδινιῶ editiones ante Brunckium.

V. 1183. εἰς] Libri ἐς. τοῦ R. Legebatur τὸν, τὰ Elmsleius. Ita παράτρεχ' εἰς τὰ Πιττάλου Vespar. v. 1432. Πιττάλου] πιττάλῳ Δ.

V. 1185. μ' ἐκφέρετε] με φέρετε ΓΔ.

V. 1187. ὀδυρτά R. ὀδύρτα editiones ante Brunckium, qui ὀδυρτή edidit ex Suida in Ὀδύρσῃ.

V. 1189. καλεῖς] καλεῖς γ' R. Totum versum om. B: post 1191 infert Δ. ὦ πρέσβυ ACRΓΔ et lemma scholii. Aberrat ὦ.

V. 1190. ἐγχέας] χέας Γ. ἄμυστιν ἐξέλαψα] Suidas in ἀμυστί.

V. 1191. τήνελλά νυν Elmsleius. Scribebatur τήνελλα νῦν. τήνελλα νῦν γ' BRΔ. γεννάδα ABCRΓΔ. ἀγεννάδα editiones ante Brunckium.

V. 1192. ἕπεσθέ νυν Elmsleius. Scribebatur ἕπεσθε νῦν.

ΧΟΡΟΣ.

ἀλλ' ἐφόμεσθα σὴν χάριν, τήνελλα καλλίνικος,
τήνελλα καλλίνικον ᾠδοντες σὲ καὶ τὸν ἅσκιόν.

V. 1193. ἐφόμεσθα] ἐπεφόμεσθα Γ. τήνελλα καλλίνικος addidit Elmsleius.

V. 1194. καλλίνικον] καλλίνικος Δ. ᾠδοντες om. Γ.

σὲ] Scribebatur σε. Correxit Elmsleius.